κληρονόμον, γνησία θυγάτηρ τοῦ ἡμετέρου θείου ἥκει φάσκουσα εἶναι Φίλη, καὶ κύριος Ξενοκλῆς Κόπρειος τοῦ Πύρρου κλήρου λαχεῖν τὴν λῆξιν ἠξίωσεν, ὃς τετελεύτηκε πλείω ἢ εἴκοσιν ἔτη, τρία τάλαντα τίμημα τῷ κλήρῳ ἐπιγραψάμενος. 3 Ἀμφισβητούσης δὲ τῆς μητρὸς τῆς ἡμετέρας, ἀδελφῆς δὲ τοῦ Πύρρου, ὁ κύριος τῆς εἰληχυίας τοῦ κλήρου γυναικὸς ἐτόλμησε διαμαρτυρῆσαι μὴ ἐπίδικον τῇ ἡμετέρᾳ μητρὶ τὸν τοῦ ἀδελφοῦ κλῆρον εἶναι, ὡς οὔσης γνησίας θυγατρὸς Πύρρῳ, οὗ ἦν ἐξ ἀρχῆς ὁ κλῆρος. Ἐπισκηψάμενοι δὲ ἡμεῖς καὶ εἰς ὑμᾶς εἰσαγαγόντες τὸν διαμαρτυρῆσαι τολμήσαντα κατὰ ταῦτα, 4 ἐκεῖνόν τε ἐξελέγξαντες περιφανῶς τὰ ψευδῆ μεμαρτυρηκότα τὴν τῶν ψευδομαρτυρίων δίκην εἵλομεν παρ' ὑμῖν καὶ τουτονὶ Νικόδημον παραχρῆμα ἐξηλέγξαμεν ἐν τοῖς αὐτοῖς δικασταῖς ἀναισχυντότατον τῇ μαρτυρίᾳ ὄντα ταύτῃ, ὅς γε ἐτόλμησε μαρτυρῆσαι ἐγγυῆσαι τῷ θείῳ τῷ ἡμετέρῳ τὴν ἀδελφὴν τὴν ἑαυτοῦ γυναῖκα εἶναι κατὰ τοὺς νόμους. 5 Ὅτι μὲν οὖν καὶ ἐν τῇ προτέρᾳ δίκῃ ἡ τούτου μαρτυρία ψευδὴς ἔδοξεν εἶναι, ὁ τόθ' ἑαλωκὼς μάρτυς σαφέστατα τοῦτον ἐξελέγχει. Εἰ γὰρ μὴ ἐδόκει οὗτος τὰ ψευδῆ τότε μαρτυρῆσαι, δῆλον ὅτι ἐκεῖνός τ' ἂν ἀποφυγὼν τὴν διαμαρτυρίαν ἀπῆλθε, καὶ κληρονόμος ἂν τῶν τοῦ θείου ἡ διαμαρτυρηθεῖσα γνησία θυγάτηρ εἶναι, ἀλλ' οὐκ ἂν ἡ ἡμετέρα κατέστη μήτηρ. 6 Ἁλόντος δὲ τοῦ μάρτυρος καὶ ἀποστάσης τοῦ κλήρου τῆς ἀμφισβητούσης γνησίας θυγατρὸς Πύρρῳ εἶναι, μεγάλη ἀνάγκη ἅμα καὶ τὴν τούτου μαρτυρίαν ἑαλωκέναι· περὶ γὰρ αὐτοῦ τούτου διαμαρτυρήσας τὴν τῶν ψευδομαρτυρίων δίκην ἠγωνίζετο, πότερον ἐξ ἐγγυητῆς ἢ ἐξ ἑταίρας ἡ ἀμφισβητοῦσα τοῦ κλήρου τῷ θείῳ [γυναικὸς] εἴη· γνώσεσθε ⟨δ'⟩ ἀκούσαντες καὶ ὑμεῖς τῆς τε ἀντωμοσίας τῆς ἡμετέ-

2 4 Κόπρειος Wyse : Κύπριος || 5 ἠξίωσεν A^2 : -σαν || τετελεύτηκε Baiter : -κει || **3** 6 ἐπισκηψάμενοι Taylor : ἐπισκεψ- || **4** 2 ψευδομαρτυρίων Wyse : -τύρων || **6** 7 γυναικὸς secl. Wyse || 8 δ' add. Ald.

nous sous serment, la déposition de Xénoklès, le texte de l'attestation reconnue fausse. 7 Prends ces pièces et lis-les aux juges.

Plainte. Déposition. Attestation

Il est apparu alors à tous sur le champ, sans hésitation, que Nikodémos avait fait un faux témoignage : c'est chose établie. Mais il convient que pour vous aussi, qui avez à prononcer sur ce point précis, la démonstration de ce faux témoignage soit faite. 8 Je désire à ce sujet poser une première série de questions : quelle dot déclare-t-il avoir constituée à sa sœur en la donnant en mariage, comme il l'atteste, à un homme dont l'avoir était de trois talents ? Et puis, cette légitime épouse a-t-elle quitté son mari vivant encore, ou la maison de son mari quand il mourut ? Et encore, qui a restitué à mon adversaire la dot de sa sœur après la mort de l'homme auquel il prétend l'avoir donnée en mariage ? 9 Ou, s'il n'a pas recouvré cette dot, à quelle voie de droit a-t-il eu recours pour obtenir une pension alimentaire[1] ou la restitution de la dot durant les vingt années où un autre détenait l'héritage ? Ou encore, existe-t-il un individu en présence de qui il soit venu trouver l'héritier pour lui réclamer la dot de sa sœur, durant tout ce temps ? J'aimerais être renseigné là-dessus ; je voudrais savoir pourquoi aucune de ces démarches n'a été tentée en faveur de cette épouse, cette légitime épouse, à ce qu'il prétend. 10 Autres questions : quelque autre homme a-t-il épousé en justes noces la sœur de mon adversaire ? Par exemple, un de ceux qui ont eu commerce avec elle avant qu'elle ne connût notre oncle, ou qui l'approchèrent alors qu'il la connaissait, ou qui l'approchèrent encore plus tard, après qu'il fut mort ? Car il est bien évident que son frère l'a donnée en mariage avec les mêmes formalités à tous ceux qui l'approchèrent. 11 S'il fallait les passer en revue un à un, ce ne serait pas une mince besogne ; pourtant si vous l'exigez, j'en citerai quelques-uns ;

1. A défaut de remboursement, l'intérêt de la dot fixé par la loi.

ρας καὶ τῆς τούτου μαρτυρίας καὶ τῆς ἁλούσης διαμαρτυρίας. 7 Ἀναγίγνωσκε λαβὼν τασδὶ αὐτοῖς.

Ἀντωμοσία. Μαρτυρία. Διαμαρτυρία.

Ὡς μὲν ἔδοξε παραχρῆμα εὐθὺς τότε ⟨πᾶσι⟩ τὰ ψευδῆ μαρτυρῆσαι Νικόδημος, ἐπιδέδεικται [τότε πᾶσι]· προσήκει δὲ καὶ παρ' ὑμῖν τοῖς περὶ αὐτοῦ τούτου τὴν δίκην μέλλουσι ψηφιεῖσθαι ἐξελεγχθῆναι τὴν τούτου μαρτυρίαν. 8 Ἐπιθυμῶ δὲ πρῶτον μὲν περὶ αὐτοῦ τούτου πυθέσθαι, ἥντινά ποτε προῖκά φησιν ἐπιδοὺς ἐκδοῦναι τὴν ἀδελφὴν ὁ μεμαρτυρηκὼς τῷ τὸν τριτάλαντον οἶκον κεκτημένῳ, εἶτα πότερον ἡ ἐγγυητὴ γυνὴ ἀπέλιπε τὸν ἄνδρα ζῶντα ἢ τελευτήσαντος τὸν οἶκον αὐτοῦ, καὶ παρ' ὅτου ἐκομίσατο τὴν τῆς ἀδελφῆς προῖκα οὗτος, ἐπειδὴ τετελευτηκὼς ἦν ᾧ μεμαρτύρηκεν οὗτος αὐτὴν ἐγγυῆσαι, 9 ἢ εἰ μὴ ἐκομίζετο, ὁποίαν δίκην σίτου ἢ τῆς προικὸς αὐτῆς ἐν εἴκοσιν ἔτεσι τῷ ἔχοντι τὸν || κλῆρον δικάσασθαι ἠξίωσεν, ἢ εἴ του ἀνθρώπων ἐναντίον προσῆλθεν ἐγκαλῶν τῷ κληρονόμῳ περὶ τῆς προικὸς τῆς ἀδελφῆς ἐν χρόνῳ τοσούτῳ. Περί τε οὖν τούτων ἡδέως ἂν πυθοίμην, ὅ τί ποτ' ἦν τὸ αἴτιον τοῦ μηδὲν τούτων γεγενῆσθαι περὶ τῆς ἐγγυητῆς — ὃς μεμαρτύρηκεν οὗτος — γυναικός, 10 καὶ πρὸς τούτοις εἴ τις ἄλλος ἐγγυητὴν ἔσχε τὴν τούτου ἀδελφὴν γυναῖκα, ἢ τῶν πρότερον χρησαμένων πρὶν γνῶναι τὸν ἡμέτερον θεῖον αὐτήν, ἢ ὅσοι ἐκείνου γιγνώσκοντος ἐπλησίαζον αὐτῇ, ἢ ὅσοι ὕστερον ἐπλησίαζον τετελευτηκότος ἐκείνου· δῆλον γὰρ ὅτι τὸν αὐτὸν τρόπον ὁ ἀδελφὸς αὐτὴν ἅπασι τοῖς πλησιάζουσιν ἐκδέδωκεν. 11 Περὶ ὧν εἰ δεήσειε καθ' ἕκαστόν διελθεῖν, οὐκ ἂν πάνυ μικρὸν ἔργον γένοιτο. Ἐὰν μὲν

7 3 πᾶσι addidi || 4 μαρτυρῆσαι Reiske : διαμαρτ- || τότε πᾶσι secl. Buerm. || 8 1 περὶ αὐτοῦ τούτου suspecta ; cf. 7, 5 || 9 3 ἠξίωσεν Reiske : -σαν || 10 7 ἐκδέδωκεν Reiske : ἐδεδώκει A, Thalheim.

mais si certains d'entre vous éprouvent à entendre parler de ces choses le même déplaisir que j'ai moi-même à en parler, je produirai les dépositions faites dans le précédent procès, dont mes adversaires n'ont jugé bon de contester aucune. Et pourtant, du moment qu'ils ont convenu que cette femme appartenait indistinctement à qui la voulait, y a-t-il la moindre vraisemblance qu'elle ait été légitimement épousée? 12 Or, en ne contestant pas les témoignages sur ce point, ils ont convenu de la vérité du fait. Vous entendrez à votre tour ces dépositions, et vous reconnaîtrez et que Nikodémos a fait manifestement un faux témoignage et que les juges du premier procès ont prononcé d'accord avec la justice et la légalité, en refusant l'héritage à une femme de naissance irrégulière. Lis ; et toi, arrête l'horloge.

Témoignages

13 C'était une courtisane qui appartenait à tout venant, et non la femme de notre oncle, une femme qui, au témoignage de mon adversaire, lui aurait été donnée en justes noces ; les autres habitués de la maison et tous les voisins de Pyrrhos l'ont attesté devant vous. Ce n'était que batailles, sérénades, et mille folies à son sujet, comme ils l'ont déclaré, quand la sœur de cet individu était chez Pyrrhos. 14 Et pourtant, on n'oserait, j'imagine, donner une sérénade à une femme légitime ; on ne voit pas non plus une femme légitime accompagner son mari au banquet[1] ni festoyer avec des étrangers, surtout avec les premiers venus. Eh bien ! devant le témoignage qui en a été donné, mes adversaires n'ont pas jugé bon de protester. Je dis la vérité : relis aux juges la déposition faite précédemment.

Témoignage

15 Lis aussi les dépositions relatives à ceux qui avaient

1. Les courtisanes seules avaient place dans les banquets ; les femmes légitimes gardaient le foyer.

οὖν ὑμεῖς κελεύητε, περὶ ἐνίων μνησθείην ἂν αὐτῶν· εἰ δέ τισιν ὑμῶν ἀηδὲς ἀκούειν ἐστίν, ὥσπερ ἐμοὶ λέγειν τι περὶ τούτων, αὐτὰς τὰς μαρτυρίας ὑμῖν παρέξομαι τὰς μαρτυρηθείσας ἐν τῇ προτέρᾳ δίκῃ, ὧν οὐδεμιᾷ ἐπισκήψασθαι ἠξίωσαν οὗτοι. Καίτοι ὅπου κοινὴν αὐτοὶ ὡμολογήκασιν εἶναι τοῦ βουλομένου τὴν γυναῖκα, πῶς ἂν εἰκότως ἡ αὐτὴ γυνὴ ἐγγυητὴ δόξειεν εἶναι; 12 Ἀλλὰ μὴν ὁπότε μὴ ἐπεσκημμένοι εἰσὶ ταῖς περὶ αὐτοῦ τούτου μαρτυρίαις, ὡμολογηκότες εἰσὶ ταῦτα. Ἀκούσαντες δὲ καὶ ὑμεῖς αὐτῶν τῶν μαρτυριῶν, γνώσεσθε ὡς οὗτός τε περιφανῶς τὰ ψευδῆ μεμαρτύρηκε, καὶ ὀρθῶς καὶ κατὰ τοὺς νόμους οἱ δικάσαντες τὴν δίκην ἔγνωσαν τὴν κληρονομίαν μὴ προσήκειν τῇ μὴ ὀρθῶς γεγενημένῃ γυναικί. Ἀναγίγνωσκε· σὺ δ' ἐπίλαβε τὸ ὕδωρ.

Μαρτυρίαι

13 Ὡς μὲν ἑταίρα ἦν τῷ βουλομένῳ καὶ οὐ γυνὴ τοῦ ἡμετέρου θείου, ἣν οὗτος ἐγγυῆσαι ἐκείνῳ μεμαρτύρηκεν, ὑπὸ τῶν ἄλλων οἰκείων καὶ ὑπὸ τῶν γειτόνων τῶν ἐκείνου μεμαρτύρηται πρὸς ὑμᾶς· οἳ μάχας καὶ κώμους καὶ ἀσέλγειαν πολλήν, ὁπότε ἡ τούτου ἀδελφὴ εἴη παρ' αὐτῷ, μεμαρτυρήκασιν γίγνεσθαι περὶ αὐτῆς. 14 Καίτοι οὐ δή πού γε ἐπὶ γαμετὰς γυναῖκας οὐδεὶς ἂν κωμάζειν τολμήσειεν· οὐδὲ αἱ γαμεταὶ γυναῖκες ἔρχονται μετὰ τῶν ἀνδρῶν ἐπὶ τὰ δεῖπνα, οὐδὲ συνδειπνεῖν ἀξιοῦσι μετὰ τῶν ἀλλοτρίων, καὶ ταῦτα μετὰ τῶν ἐπιτυχόντων. Ἀλλὰ μὴν τῷ γε μεμαρτυρηκότι οὐδ' ἐπισκήψασθαι οὗτοι ἠξίωσαν. Καὶ ὡς ἀληθῆ λέγω, ἀναγίγνωσκε πάλιν αὐτοῖς τὴν μαρτυρίαν.

Μαρτυρία

15 Ἀνάγνωθι δὴ καὶ τὰς περὶ τῶν πλησιασάντων αὐτῇ

11 7 αὐτοὶ Schoem. : αὐτὴν ‖ **12** 7 γεγενημένῃ A : γεγενν- A^2 ‖ ἐπίλαβε Scaliger : -βαλλε ‖ 9 μαρτυρίαι Reiske : -ρία ‖ **13** 2 οὗτος A^2 : οὕτως.

commerce avec elle, pour que les juges sachent bien que c'était une courtisane, appartenant au premier venu, et qu'elle n'a eu d'enfant d'aucun autre homme. Lis.

Témoignages

16 Elle se livrait donc indistinctement à qui la voulait, cette femme que cet individu a prétendu avoir donnée en mariage à notre oncle : il faut vous rappeler tous les témoins qui l'ont attesté, et aussi ce fait qu'évidemment elle n'a jamais eu un autre mari ni un autre foyer. Mais examinons maintenant en quel cas on pourrait soupçonner qu'une femme de cette espèce ait été épousée légitimement, à supposer que ce soit le cas de notre oncle. 17 Il est bien arrivé déjà que des jeunes gens, épris de semblables femmes et incapables de se maîtriser, se soient laissés entraîner dans leur folie à compromettre ainsi leur avenir. Comment donc mieux arriver à une conviction en cette occurrence que par l'examen des dépositions faites en faveur de mes adversaires dans le précédent procès et des vraisemblances qui ressortent de l'affaire même? 18 Or, considérez l'impudence de leurs affirmations. Cet individu, qui va marier sa sœur à un homme riche de trois talents — c'est ce qu'il assure — en une affaire de telle importance, a prétendu n'avoir été assisté que d'un seul témoin, de Pyrétidès ; encore dans le premier procès n'a-t-on produit que la déclaration écrite de ce témoin[1], et Pyrétidès a désavoué cette déclaration : il ne reconnaît pas avoir été témoin, ni savoir en rien ce qu'il y a de vrai dans l'affaire. 19 Mais voici un sérieux indice que mes adversaires ont manifestement forgé le témoignage qu'ils ont produit. Vous savez tous que, lorsqu'on va pour conclure une affaire déterminée et nécessitant la présence de témoins, on a l'habitude de s'adjoindre ses plus proches et ses intimes comme témoins en de telles circonstances ; au contraire, lorsqu'une affaire se présente inopinément, à l'impro-

1. En cas de maladie ou d'absence, une déposition écrite (ἐκμαρτυρία), recueillie devant témoins, était valable.

μαρτυρίας, ἵνα εἰδῶσιν ὅτι ἑταίρα τε ἦν τοῦ βουλομένου καὶ ὅτι οὐδ' ἐξ ἑνὸς ἄλλου φαίνεται τεκοῦσα. Ἀναγίγνωσκε αὐτοῖς.

Μαρτυρίαι

16 Ὡς μὲν τοίνυν ἦν κοινὴ τῷ βουλομένῳ, ἣν οὗτος ἐγγυῆσαι τῷ ἡμετέρῳ θείῳ μεμαρτύρηκε, μνημονεύειν χρὴ ὑφ' ὅσων ὑμῖν μεμαρτύρηται, καὶ ὅτι οὐδενὶ ἄλλῳ ἐγγυηθεῖσα οὐδὲ συνοικήσασα φαίνεται· σκεψώμεθα δὲ καὶ ἐξ ὧν ἄν τις ὑπονοήσειεν ἐγγύην γενέσθαι τοιαύτης γυναικός, εἰ ἄρα καὶ τῷ ἡμετέρῳ θείῳ τοιοῦτόν τι συμβέβηκεν. 17 Ἤδη γάρ τινες νέοι ἄνθρωποι, ἐπιθυμήσαντες τοιούτων γυναικῶν καὶ ἀκρατῶς ἔχοντες αὐτῶν, ἐπείσθησαν ὑπ' ἀνοίας εἰς αὐτοὺς τοιοῦτόν τι ἐξαμαρτεῖν. Πόθεν οὖν ἄν τις σαφέστερον γνοίη περὶ τούτων ἢ ἔκ τε τῶν μαρτυριῶν τῶν τούτοις μεμαρτυρημένων ἐν τῇ προτέρᾳ δίκῃ καὶ ἐκ τῶν εἰκότων τῶν περὶ αὐτὸ τὸ πρᾶγμα σκεψάμενος; 18 Ἐνθυμεῖσθε δὲ τὴν ἀναίδειαν ὧν λέγουσιν. Ὁ μὲν γὰρ ἐγγυᾶν μέλλων εἰς τὸν τριτάλαντον οἶκον, ὥς φησι, τὴν ἀδελφήν, διαπραττόμενος τηλικαῦτα ἕνα μάρτυρα παρεῖναι αὐτῷ Πυρετίδην προσεποιήσατο, καὶ τούτου ἐκμαρτυρίαν ἐπ' ἐκείνῃ τῇ δίκῃ παρέσχοντο οὗτοι· ἣν Πυρετίδης οὐκ ἀναδέδεκται αὐτοῖς οὐδὲ ὁμολογεῖ μαρτυρῆσαι οὐδὲ εἰδέναι τούτων ἀληθὲς ὂν οὐδέν. 19 Μέγα δὲ τεκμήριον ὡς περιφανῶς ψευδῆ τὴν μαρτυρίαν οὗτοι παρέσχοντο ταύτην· ἴστε γὰρ πάντες ὡς, ὅταν μὲν [ὡς] ἐπὶ προδήλους πράξεις ἴωμεν, ἃς δεῖ μετὰ μαρτύρων γενέσθαι, τοὺς οἰκειοτάτους || καὶ οἷς ἂν τυγχάνωμεν χρώμενοι μάλιστα, τούτους παραλαμβάνειν εἰώθαμεν ἐπὶ τὰς πράξεις τὰς τοιαύτας, τῶν δὲ ἀδήλων καὶ ἐξαίφνης γιγνομένων τοὺς

15 5 μαρτυρίαι Ald. : -ρία || 17 3 αὐτοὺς Reiske : αὐτὰς || 18 3 τηλικαῦτα Taylor : τηνικαῦτα || 19 3 ὡς secl. Ald.

viste, on prend comme témoins les premiers venus. **20** Pour les dépositions faites devant le tribunal, il faut bien se contenter des témoins quels qu'ils soient, qui étaient présents lors de l'événement ; mais, lorsqu'il s'agit d'un malade ou d'un homme prêt à partir en voyage dont on veut recueillir la déposition, chacun de nous convoque les citoyens les plus respectables, ceux qu'il connaît le mieux ; **21** on ne se contente pas d'un ou deux témoins ; mais c'est devant le plus grand nombre de témoins possible qu'on recueille la déposition afin que le déposant n'ait pas la latitude de revenir plus tard sur sa déposition et que, devant le témoignage unanime de tant d'honnêtes gens, votre conviction soit mieux établie. **22** Ainsi, quand Xénoklès alla à Bésa, sur notre chantier de mines[1], il ne crut pas devoir recourir aux témoins qu'il pourrait rencontrer là-bas par hasard, pour assister à l'éviction[2], mais en partant, il emmena d'ici Diophantos de Sphettos, celui qui l'a défendu dans le premier procès, Dorothéos d'Éleusis et son frère Philocharès, et beaucoup d'autres témoins : il les a menés d'ici là-bas à une distance de près de de trois cents stades. **23** Et lorsqu'il s'agit du mariage de de la grand'mère de ses enfants, et qu'il doit, à ce qu'il prétend, recueillir une déposition à Athènes même, on ne le voit convoquer aucun de ses proches, mais seulement Dionysios d'Erchia et Aristolochos d'Aithalidai. Avec ces deux témoins seulement, ici, sur place, à Athènes, mes adversaires prétendent avoir recueilli la déposition : pour une affaire de cette importance, des témoins qui en aucun cas n'inspireraient confiance à personne ! **24** Était-ce donc, par Dieu, sur un point secondaire et négligeable que portait cette déposition qu'ils prétendent avoir recueillie de Pyrétidès ? Il n'y aurait alors rien d'étonnant à ce qu'ils n'y aient point attaché d'importance. Allons donc ! Sur ce point même ils avaient à affronter

1. Bésa, dème situé dans le district minier du Laurion.

2. Phrase ambiguë : Xénoklès veut se mettre en possession du chantier (voir la notice) ; peut-être prend-il avec lui des témoins pour pouvoir prouver qu'on l'en a empêché.

προστυχόντας ἕκαστοι μάρτυρας ποιούμεθα. 20 Καὶ ἐπὶ μὲν ταῖς μαρτυρίαις αὐταῖς τοῖς παραγενομένοις αὐτοῖς, ὁποῖοί τινες ἂν ὦσι, τούτοις μάρτυσιν χρῆσθαι ἀναγκαῖόν ἐστιν ἡμῖν· παρὰ δὲ τῶν ἀσθενούντων ἢ τῶν ἀποδημεῖν μελλόντων ὅταν τις ἐκμαρτυρίαν ποιῆται, τοὺς ἐπιεικεστάτους τῶν πολιτῶν καὶ τοὺς ἡμῖν γνωριμωτάτους ἕκαστος ἡμῶν παρακαλεῖ μάλιστα, 21 καὶ οὐ μεθ' ἑνὸς οὐδὲ μετὰ δυοῖν, ἀλλ' ὡς ἂν μετὰ πλείστων δυνώμεθα τὰς ἐκμαρτυρίας πάντες ποιούμεθα, ἵνα τῷ τε ἐκμαρτυρήσαντι μὴ ἐξῇ ὕστερον ἐξάρνῳ γενέσθαι τὴν μαρτυρίαν, ὑμεῖς τε πολλοῖς καὶ καλοῖς κἀγαθοῖς ταὐτὰ μαρτυροῦσι πιστεύητε μᾶλλον. 22 Ξενοκλῆς τοίνυν Βήσαζε μὲν ἰὼν εἰς τὸ ἐργαστήριον τὸ ἡμέτερον εἰς τὰ ἔργα, οὐχ ἡγήσατο δεῖν τοῖς ἀπὸ τοῦ αὐτομάτου ἐκεῖ ἐντυχοῦσι μάρτυσι χρῆσθαι περὶ τῆς ἐξαγωγῆς, ἀλλ' ἧκεν ἔχων ἐνθένδε Διόφαντον τὸν Σφήττιον μεθ' ἑαυτοῦ, ὃς ἔλεγε τὴν δίκην ὑπὲρ τούτου, καὶ Δωρόθεον τὸν Ἐλευσίνιον καὶ τὸν ἀδελφὸν αὐτοῦ Φιλοχάρην καὶ ἄλλους πολλοὺς μάρτυρας, παρακεκληκὼς ἐνθένδε σταδίους ἐγγὺς τριακοσίους ἐκεῖσε· 23 περὶ δὲ τῆς ἐγγύης τῆς τήθης τῶν παίδων τῶν ἑαυτοῦ ἐν τῷ ἄστει ἐκμαρτυρίαν, ὥς φησι, ποιούμενος, τῶν μὲν οἰκείων οὐδένα τῶν ἑαυτοῦ παρακεκληκὼς φαίνεται, Διονύσιον δὲ ⟨τὸν⟩ Ἐρχιέα καὶ Ἀριστόλοχον τὸν Αἰθαλίδην. Μετὰ δυοῖν τούτοιν ἐν τῷ ἄστει αὐτοῦ τὴν ἐκμαρτυρίαν ποιήσασθαί φασιν οὗτοι — τοιαῦτα μετὰ τούτων οἷς οὐδ' ἂν περὶ ὁτουοῦν πιστεύσειεν ἄλλος οὐδείς. 24 Ἴσως γὰρ ἦν νὴ Δία πάρεργον καὶ φαῦλον, περὶ οὗ τὴν ἐκμαρτυρίαν παρὰ τοῦ Πυρετίδου φασὶ ποιήσασθαι οὗτοι, ὥστε οὐδὲν θαυμαστὸν ὀλιγωρηθῆναι ἦν τὸ πρᾶγμα. Καὶ πῶς; Οἷς γε περὶ αὐτοῦ τούτου ὁ ἀγὼν

20 4 ἡμῖν A² : ὑμῖν || 6 ἡμῖν A² : ὑμῖν || 7 ἡμῶν A² : ὑμῶν || 21 1 οὐ Bek. : οὐδὲ || 3 ἐξῇ Dob. : ἐξείη || 5 ταὐτὰ Muret : ταῦτα || πιστεύητε Dob. : πιστεύοιτε || 22 4 ἐνθένδε Bek. : ἔνθεν || 8 ἐγγὺς Dob. : εὐθὺς A Münscher || 23 4 τὸν add. Dob. || 7 μετὰ Dob. : μὲν τὰ || 24 4 οἷς γε Meutzner : ὥστε.

un procès en faux témoignage, où Xénoklès était défendeur : il s'agissait de savoir si sa femme était née d'un concubinage ou d'une union légitime ; et pour attester cette déposition, si elle avait été véridique, il n'aurait pas jugé bon de convoquer tous ses intimes ? **25** Par Dieu, il l'eût fait, j'imagine, s'il y avait eu un mot de vrai dans l'affaire ! C'est pourtant ce qu'on ne voit pas : Xénoklès s'est adressé à deux témoins de fortune pour recueillir cette déposition ; et d'autre part, ce Nikodémos a convoqué en tout un témoin lorsqu'il a donné sa sœur en mariage, selon son dire, à un homme riche de trois talents. **26** Tandis que lui-même prétend s'être adjoint l'unique Pyrétidès, qui d'ailleurs n'en convient pas, l'homme qui allait prendre une épouse de cette espèce aurait convoqué, s'il faut les en croire, Lysiménès et ses frères, Chairon et Pyladès pour assister aux épousailles, les propres oncles du futur. **27** C'est votre affaire d'examiner si l'histoire paraît avoir quelque probabilité. Pour moi, à en juger d'après les vraisemblances, j'imagine que Pyrrhos aurait cherché à se cacher de tous ses proches, s'il avait pris des dispositions pour faire un contrat ou un acte indigne de lui, plutôt que de convoquer ses propres oncles comme témoins d'une folie de cette taille.

28 Un point encore m'étonne : rien n'a été stipulé relativement à une dot ni par le bailleur, ni par l'épouseur au moment du mariage [1]. Or, si Nikodémos en avait donné une, il est vraisemblable que les prétendus témoins du mariage auraient attesté la constitution de la dot ; d'autre part, si, poussé par sa passion, notre oncle avait contracté mariage avec une femme de cette espèce, il est bien évident que celui qui la baillait en mariage aurait, à plus forte raison, fait reconnaître par le preneur une somme reçue avec la femme, afin que l'époux n'eût pas la facilité de se débarrasser de sa femme à sa guise. **29** Et ici encore, il eût été naturel que

1. Il est si rare qu'une fille donnée régulièrement en mariage ne reçoive pas une dot de son père ou de son tuteur que dans les plaidoyers on invoque souvent l'absence de dot pour mettre en doute la légitimité d'une union ; cf. disc. II, 5 et VIII, 8 et suiv.

ἦν ὁ τῶν ψευδομαρτυρίων, ὃν Ξενοκλῆς ἔφευγεν, ἢ ἐξ ἑταίρας ἢ ἐξ ἐγγυητῆς τὴν ἑαυτοῦ γυναῖκα εἶναι. Εἶτα ἐπὶ ταύτην ἂν τὴν μαρτυρίαν, εἰ ἦν ἀληθής, οὐκ ἂν ἅπαντας τοὺς οἰκείους τοὺς ἑαυτοῦ παρακαλεῖν ἐκεῖνος ἠξίωσε; 25 Ναὶ μὰ Δία, ὡς ἔγωγε ᾤμην, εἴ γε ἦν ἀληθὲς τὸ πρᾶγμα. Οὐ τοίνυν φαίνεται, ἀλλ' ὁ μὲν Ξενοκλῆς πρὸς τοὺς ἐπιτυχόντας δύο ἐκμαρτυρησάμενος τὴν μαρτυρίαν ταύτην· Νικόδημος δὲ οὗτοσὶ ἕνα μόνον μάρτυρα παρακαλέσας μεθ' ἑαυτοῦ τῷ τὸν τριτάλαντον οἶκον κεκτημένῳ ἐγγυῆσαί φησι τὴν ἀδελφήν. 26 Καὶ οὗτος μὲν τὸν Πυρετίδην μόνον, οὐχ ὁμολογοῦντα, προσεποιήσατο μεθ' αὑτοῦ παραγενέσθαι· ὑπὸ δὲ τοῦ ἐγγυήσεσθαι μέλλοντος τὴν τοιαύτην Λυσιμένης καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Χαίρων καὶ Πυλάδης, φασὶ παρακληθέντες τῇ ἐγγύῃ παραγενέσθαι, καὶ ταῦτα θεῖοι ὄντες τῷ ἐγγυωμένῳ. 27 Ὑμέτερον οὖν ἔργον σκέψασθαι νῦν εἰ δοκεῖ πιστὸν εἶναι τὸ πρᾶγμα. Ἐγὼ μὲν γὰρ νομίζω, ἐκ τῶν εἰκότων σκοπούμενος, πολὺ ἂν μᾶλλον τὸν Πύρρον πάντας ἂν τοὺς οἰκείους βούλεσθαι λεληθέναι, εἴ τι παρεσκευάζετο ὁμολογεῖν ἢ πράττειν ἀνάξιον τῶν αὑτοῦ, ἢ παρακαλέσαι μάρτυρας τοὺς θείους τοὺς ἑαυτοῦ ἐπὶ ἁμάρτημα τηλικοῦτον.

28 Ἔτι δὲ καὶ περὶ ἐκείνου θαυμάζω, εἰ μηδεμίαν προῖκα μήθ' ὁ διδοὺς μήθ' ὁ λαμβάνων διωμολογήσαντο ἕξειν ἐπὶ τῇ γυναικί. Τοῦτο μὲν γὰρ εἴ τινα ἐδίδου, εἰκὸς ἦν καὶ τὴν δοθεῖσαν ὑπὸ τῶν παραγενέσθαι φασκόντων μαρτυρεῖσθαι· τοῦτο δ' εἰ δι' ἐπιθυμίαν τὴν ἐγγύην ὁ θεῖος ἡμῶν ἐποιεῖτο τῆς τοιαύτης γυναικός, δῆλον ὅτι κἂν ἀργύριον πολλῷ μᾶλλον [ἢ] ὁ ἐγγυῶν διωμολογήσατο ἔχειν αὐτὸν ἐπὶ τῇ γυναικί, ἵνα μὴ ἐπ' ἐκείνῳ γένοιτο ῥᾳδίως ἀπαλλάττεσθαι, ὁπότε βούλοιτο, τῆς γυναικός. 29 Καὶ μάρ-

25 4 οὑτοσὶ Dob.: οὗτος ἦν || 26 2 μεθ' αὑτοῦ Baiter; μετ' αὑτοῦ || 3 ἐγγυήσεσθαι Cobet: -σασθαι || 4 οἱ A^2: ἡ || 5 παρακληθέντες A^2: -κλη*έντες || 28 7 ἢ secl. Steph.

le bailleur convoquât des témoins en beaucoup plus grand nombre que l'homme qui faisait pareil mariage : car nul de vous n'ignore que semblables unions n'ont à l'ordinaire guère de chances de durée. Or, au cas présent, celui qui se déclare l'auteur du mariage déclare aussi qu'en présence d'un unique témoin, sans contrat dotal, il a marié sa sœur à un homme riche de trois talents ; et de leur côté, les oncles ont attesté qu'ils ont été témoins au mariage de leur neveu épousant une pareille femme sans dot !

30 Ces mêmes oncles ont déposé que leur neveu les avait conviés à la cérémonie du dixième jour[1] de la fille qui était donnée comme sienne, et qu'ils y avaient assisté. Sur quoi je constate avec une singulière indignation que le mari, revendiquant pour sa femme l'héritage paternel, lui a attribué dans sa demande le nom de Philé, alors que les oncles de Pyrrhos, présents, assurent-ils, à la cérémonie du dixième jour, ont attesté que le père avait donné à l'enfant le nom de sa grand'mère, Kleitarété. 31 Je m'étonne qu'un mari, vivant depuis plus de huit ans[2] avec sa femme, n'ait pas su son nom. Alors il n'a pas pu l'apprendre d'abord de ses propres témoins ? La mère de sa femme, pendant un temps si long, ne lui a pas dit le nom de sa fille ? Ni l'oncle même, Nikodémos ? 32 Mais au lieu du nom de sa grand'mère, si l'on avait su réellement que le père le lui avait donné, le mari lui aurait attribué le nom de Philé, et cela dans une revendication de l'héritage paternel ? Dans quelle intention ? Le mari voulait-il annuler les droits de sa femme même sur le nom de sa grand'mère, donné par son père ? 33 N'est-il pas évident, juges, que les faits attestés par eux comme anciens ont beaucoup plutôt été combinés par eux en concordance avec leur revendication de l'héritage ? Sinon il ne serait pas arrivé que les uns, conviés, selon leur dire, à la fête pour le dixième jour de la fille de Pyrrhos, nièce de Nikodémos, se fussent rappelé exactement, depuis ce jour déjà lointain, et eussent déclaré au tribunal que le père lui avait donné le

1. L'enfant reçoit son nom dix jours après sa naissance.
2. Philé était donc très jeune à la mort de Pyrrhos.

τυράς γε πολλῷ πλείους ⟨εἰκὸς⟩ ἦν τὸν ἐγγυῶντα παρακαλεῖν ἢ τὸν ἐγγυώμενον τὴν τοιαύτην· οὐδεὶς γὰρ ὑμῶν ἀγνοεῖ ὅτι ὀλίγα διαμένειν εἴωθε τῶν τοιούτων. Ὁ μὲν τοίνυν ἐγγυῆσαι φάσκων μετὰ ἑνὸς μάρτυρος καὶ ἄνευ ὁμολογίας || προικὸς εἰς τὸν τριτάλαντον οἶκον ἐγγυῆσαί φησι τὴν ἀδελφήν· οἱ δὲ θεῖοι τῷ ἀδελφιδῷ ἄπροικον τὴν τοιαύτην ἐγγυωμένῳ μεμαρτυρήκασι παραγενέσθαι.

30 Καὶ οἱ αὐτοὶ θεῖοι οὗτοι ἐν τῇ δεκάτῃ τῆς θυγατρὸς ἀποφανθείσης εἶναι ὑπὸ τοῦ ἀδελφιδοῦ κληθέντες μεμαρτυρήκασι παραγενέσθαι. Ἐφ' ᾧ δὴ καὶ δεινῶς ἀγανακτῶ, ὅτι ὁ μὲν ἀνὴρ λαγχάνων ὑπὲρ τῆς γυναικὸς τῆς αὐτοῦ τοῦ κλήρου τοῦ πατρῴου Φίλην ὄνομα εἶναι ἐπεγράψατο τῇ γυναικί, οἱ δὲ τοῦ Πύρρου θεῖοι ἐν τῇ δεκάτῃ φάσκοντες παραγενέσθαι τὸ τῆς τήθης ὄνομα Κλειταρέτην τὸν πατέρα ἐμαρτύρησαν θέσθαι αὐτῇ. 31 Θαυμάζω οὖν εἰ ὁ ἀνὴρ ὁ συνοικῶν πλείω ἢ ὀκτὼ ἔτη ἤδη μὴ ᾔδει τοὔνομα τῆς ἑαυτοῦ γυναικός. Εἶτα οὐδὲ παρὰ τῶν αὐτοῦ μαρτύρων πρότερον ἐδυνήθη πυθέσθαι, οὐδ' ἡ μήτηρ τῆς γυναικὸς τὸ τῆς θυγατρὸς ὄνομα τῆς αὐτῆς ἐν χρόνῳ τοσούτῳ ἔφρασεν αὐτῷ, οὐδ' ὁ θεῖος αὐτός Νικόδημος, 32 ἀλλ' ἀντὶ τοῦ τῆς τήθης ὀνόματος, εἴ τις ᾔδει τοῦθ' ὑπὸ τοῦ πατρὸς κείμενον ταύτῃ, Φίλην ὁ ἀνὴρ ὄνομα ἐπεγράψατο εἶναι αὐτῇ, καὶ ταῦτα λαγχάνων αὐτῇ τοῦ κλήρου τοῦ πατρῴου; Τίνος ἕνεκα; Ἢ ἵνα καὶ τοῦ τῆς τήθης ὀνόματος τοῦ ὑπὸ τοῦ πατρὸς τεθέντος ἄκληρον ὁ ἀνὴρ καταστήσειεν εἶναι τὴν αὐτοῦ γυναῖκα; 33 Ἆρά γε οὐχὶ δῆλον, ὦ ἄνδρες, ὅτι ἃ πάλαι οὗτοι μαρτυροῦσι γενέσθαι, πολλῷ πλέον ⟨μετὰ⟩ τῆς λήξεως τοῦ κλήρου σύγκειται αὐτοῖς; Οὐ γὰρ ἄν ποτε οἱ μὲν εἰς τὴν δεκάτην, ὥς φασι, κληθέντες τῆς τοῦ Πύρρου θυγατρός, ἀδελφιδῆς δὲ τούτου, ἐξ ἐκείνης τῆς ἡμέρας, ἥτις ἦν ποτε, ἀκριβῶς εἰς τὰ δικαστήριον ἧκον μεμνημένοι ὅτι Κλειτα-

29 2 εἰκὸς add. Reiske || ἦν A² : ἦν || 30 5 ἐπεγράψατο Dob. : ἐγράψατο || 32 2 ταύτῃ Bekker : ταύτην || 33 2 πολλῷ πλέον ⟨μετὰ⟩ scripsi : πολλῷ ὕστερον Thal. || 3 οἱ Ald. : εἰ.

nom de Kleitarété, 34 tandis que les parents les plus proches de tous, le mari, l'oncle, bien plus la mère auraient ignoré le nom de la prétendue fille de Pyrrhos. Ils l'auraient su de reste, si la chose avait été vraie. Mais, sur l'attitude des oncles, j'aurai à revenir plus tard.

35 Quant au témoignage de Nikodémos, il n'est pas difficile, d'après les termes mêmes de la loi, de reconnaître qu'il est manifestement faux. En effet, à défaut d'estimation d'une partie de la dot, il arrive, d'après la loi, si la femme se sépare de son mari ou si le mari renvoie sa femme, que celui qui a constitué la dot ne puisse recouvrer ce qu'il n'a pas compris dans l'estimation[1] ; lors donc qu'on prétend qu'on a marié sa sœur sans contrat, l'impudence de cette assertion est manifestement démontrée. 36 Où donc était l'avantage du mariage, si le mari pouvait répudier la femme à son gré ? Or il le pouvait, juges, bien évidemment, si nul contrat ne stipulait la dot apportée par l'épouse. Et alors, c'est dans ces conditions que Nikodémos aurait marié sa sœur à notre oncle ? Il l'eût fait, tout en sachant qu'elle n'avait jamais mis au monde d'enfant, que légalement la dot inscrite au contrat lui devait revenir, s'il arrivait malheur à la femme avant qu'elle eût des enfants ? 37 Nikodémos vous paraît-il désintéressé au point de négliger de tels avantages ? Pour moi, je n'en crois rien. En outre notre oncle aurait-il voulu prendre en mariage la sœur d'un homme qui a été accusé d'usurpation de la qualité de citoyen par un des membres de la phratrie à laquelle il prétend appartenir, et qui n'a conservé ses droits que grâce à une majorité de quatre voix[2] ? C'est la vérité : lis le témoignage.

Témoignage

38 Donc Nikodémos a attesté qu'il avait donné sa sœur

1. Lors de la constitution de la dot, des témoins sont convoqués pour en attester à l'occasion le montant. En cas de séparation, le mari n'est tenu à restituer que les biens ainsi évalués.

2. Accusation incidente dont nous ne savons la valeur.

ρέτην ὁ πατὴρ ἐν τῇ δεκάτῃ ὠνόμηνεν, 34 οἱ δ' οἰκειότατοι τῶν ἁπάντων, ὁ ἀνὴρ καὶ ὁ θεῖος, καὶ ἡ μήτηρ οὐκ ἂν ᾔδει τὸ ὄνομα τῆς θυγατρός, ὥς φασι, τῆς αὐτοῦ. Πολύ γε μάλιστ' ἄν, εἰ ἦν ἀληθὲς τὸ πρᾶγμα. Ἀλλὰ περὶ μὲν τούτων καὶ ὕστερον ἐγχωρήσει εἰπεῖν.

35 Περὶ δὲ τῆς τούτου μαρτυρίας οὐ χαλεπὸν καὶ ἐξ αὐτῶν τῶν νόμων ἐστὶ γνῶναι ὅτι φαίνεται περιφανῶς τὰ ψευδῆ μεμαρτυρηκὼς οὗτος. Ὅπου γάρ, ἐάν τίς τι ἀτίμητον δῷ, ἕνεκα τοῦ νόμου, ἐὰν ἀπολίπῃ ἡ γυνὴ τὸν ἄνδρα ἢ ἐὰν ὁ ἀνὴρ ἐκπέμψῃ τὴν γυναῖκα, οὐκ ἔξεστι πράξασθαι τῷ δόντι ὃ μὴ ἐν προικὶ τιμήσας ἔδωκεν, ἢ που ὅστις γέ φησιν ἄνευ ὁμολογίας προικὸς τὴν ἀδελφὴν ἐγγυῆσαι, περιφανῶς ἀναίσχυντος ὢν ἐλέγχεται. 36 Τί γὰρ ἔμελλεν ὄφελος εἶναι αὐτῷ τῆς ἐγγύης, εἰ ἐπὶ τῷ ἐγγυησαμένῳ ἐκπέμψαι ὁπότε βούλοιτο τὴν γυναῖκα ἦν; Ἦν δ' ἂν ἐπ' ἐκείνῳ, ὦ ἄνδρες, δῆλον ὅτι, εἰ μηδεμίαν προῖκα διωμολογήσατο ἕξειν ἐπ' αὐτῇ. Εἶτ' ἐπὶ τούτοις ἂν Νικόδημος ἠγγύησε τῷ ἡμετέρῳ θείῳ τὴν ἀδελφήν; Καὶ ταῦτα εἰδὼς τὸν ἅπαντα χρόνον ἄτοκον οὖσαν αὐτήν, καὶ τῆς ὁμολογηθείσης προικὸς ἐκ τῶν νόμων γιγνομένης εἰς αὐτόν, εἴ τι ἔπαθεν ἡ γυνὴ πρὶν γενέσθαι παῖδας αὐτῇ; 37 Ἆρ' οὖν δοκεῖ τῷ ὑμῶν ὀλιγώρως οὕτως ἔχειν χρημάτων Νικόδημος ὥστε παραλιπεῖν ἄν τι τῶν τοιούτων; Ἐγὼ μὲν γὰρ οὐ νομίζω. Εἶτα παρὰ τούτου ὁ ἡμέτερος θεῖος ἠξίωσεν ἂν ἐγγυήσασθαι τὴν ἀδελφήν, ὃς αὐτὸς ξενίας φεύγων ὑπὸ ἑνὸς τῶν φρατέρων ὢν φησιν αὐτοῦ εἶναι, παρὰ τέτταρας ψήφους μετέσχε τῆς πόλεως; Καὶ ὡς ἀληθῆ λέγω, ἀναγίγνωσκε τὴν μαρτυρίαν.

Μαρτυρία

38 Οὗτος τοίνυν τῷ ἡμετέρῳ θείῳ ἄπροικον τὴν ἀδελ-

34 2 ἀνὴρ Dob. : πατὴρ || 35 4 νόμου A : γάμου Reiske Lipsius Munscher, interpunct. deleta ante ἕνεκα || 6 ἢ A^2 : εἴ || 37 3 τοιούτων A^2 : το * ούτων || 6 ὧν Reiske : ὄν.

en mariage à notre oncle, sans dot, et cela, alors que la dot devait lui revenir s'il arrivait malheur à la femme avant qu'elle eût des enfants. Prends et lis aux juges les lois que voici.

Lois

39 Vous semble-t-il que Nikodémos soit désintéressé au point qu'à supposer la réalité du mariage, il n'eût pas spécifié bien exactement ce qui était dans son intérêt? Par Dieu, il l'aurait fait, j'en suis convaincu : même ceux qui donnent à titre de concubine une femme soumise à leur autorité[1] stipulent tous par avance une somme qui devra lui être donnée. Et Nikodémos, qui allait marier sa propre sœur, à ce qu'il prétend, se serait contenté de l'acte légal du mariage? Lui qui, pour quelque peu d'argent qu'il cherche à gagner en prenant ici la parole[2], s'empresser de se montrer un gredin !

40 Pour ce qui regarde sa gredinerie, même si je m'en tais, la plupart d'entre vous la connaissent; aussi les témoins ne me manquent-ils point lorsque j'ai à en parler. Mais voici tout d'abord quelques arguments par où je veux le convaincre d'avoir impudemment menti dans sa déposition. Voyons, Nikodémos : si tu avais marié ta sœur à Pyrrhos et si tu savais qu'elle avait laissé une fille légitime, 41 comment as-tu permis à notre frère de revendiquer l'héritage en laissant de côté cette fille légitime que, selon toi, notre oncle avait laissée? Ignorais-tu que cette revendication de l'héritage faisait de ta nièce une bâtarde? Car du moment que quelqu'un réclamait par voie judiciaire la succession, il taxait de bâtardise la fille du défunt qui laissait la succession. 42 Mais remontons plus haut : l'adoption de mon frère par Pyrrhos avait eu semblable effet, car nul n'a le droit de tester et de disposer d'aucune partie de ses biens[3] sans disposer en même temps des filles légitimes qu'il peut

1. Ces concubines ne sont pas nécessairement des étrangères.
2. Nikodémos aurait été payé pour son faux témoignage.
3. Pourtant on pouvait faire des legs, même si on avait des fils.

φὴν τὴν ἑαυτοῦ μεμαρτύρηκεν ἐγγυῆσαι, καὶ ταῦτα τῆς προικὸς εἰς αὐτὸν γιγνομένης, εἴ τι ἔπαθεν ἡ γυνὴ πρὶν γενέσθαι παῖδας αὐτῇ. Λαβὲ δὴ καὶ ἀνάγνωθι τοὺς νόμους τουσδὶ αὐτοῖς.

Νόμοι

39 Δοκεῖ ἂν ὑμῖν οὕτως ὀλιγώρως ἔχειν χρημάτων Νικόδημος ὥστε, εἰ ἦν ἀληθὲς τὸ πρᾶγμα, οὐκ ἂν σφόδρα διακριβώσασθαι περὶ τῶν ἑαυτῷ συμφερόντων ; Ναὶ μὰ Δία, ὡς ἔγωγ' οἶμαι, ἐπεὶ καὶ οἱ ἐπὶ παλλακίᾳ διδόντες τὰς ἑαυτῶν πάντες πρότερον διομολογοῦνται περὶ τῶν δοθησομένων ταῖς παλλακαῖς· Νικόδημος δὲ ἐγγυᾶν μέλλων, ⟨ὡς⟩ φησι, || τὴν ἀδελφὴν τὴν αὑτοῦ μόνον τὸ κατὰ τοὺς νόμους ἐγγυῆσαι διεπράξατο, ὃς ἐπ' ὀλίγῳ ἀργυρίῳ, οὗ ἐπιθυμῶν λέγει πρὸς ὑμᾶς, σφόδρα βούλεται πονηρὸς εἶναι ;

40 Περὶ μὲν οὖν τῆς τούτου πονηρίας καὶ σιωπῶντος ἐμοῦ οἱ πολλοὶ γιγνώσκουσιν ὑμῶν, ὥστε οὐκ ἀπορῶ γε μαρτύρων, ὅταν τι λέγω περὶ αὐτοῦ· βούλομαι δὲ πρῶτον ἐκ τῶν τοιῶνδε ἐξελέγξαι τοῦτον ἀναισχυντότατον τῇ μαρτυρίᾳ ὄντα ταύτῃ. Φέρε γάρ, ὦ Νικόδημε, εἰ ἦσθα ἠγγυηκὼς τῷ Πύρρῳ τὴν ἀδελφὴν καὶ εἰ ᾔδεις ἐξ αὐτῆς θυγατέρα γνησίαν καταλειπομένην, 41 πῶς ἐπέτρεψας τῷ ἡμετέρῳ ἀδελφῷ ἐπιδικάσασθαι τοῦ κλήρου ἄνευ τῆς γνησίας θυγατρός, ἣν φὴς τῷ ἡμετέρῳ θείῳ καταλειφθῆναι ; Ἢ οὐκ ᾔδεις ἐν τῇ ἐπιδικασίᾳ τοῦ κλήρου νόθην καθισταμένην τὴν ἀδελφιδῆν τὴν σαυτοῦ ; Ὁπότε γάρ τις ἐπεδικάζετο τοῦ κλήρου, νόθην τὴν θυγατέρα τοῦ καταλιπόντος τὸν κλῆρον καθίστη. 42 Ἔτι δὲ πρότερον ὁ Πύρρος ὁ ποιησάμενος τὸν ἀδελφὸν τὸν ἐμὸν υἱὸν αὐτῷ· οὔτε γὰρ διαθέσθαι οὔτε δοῦναι οὐδενὶ οὐδὲν ἔξεστι τῶν ἑαυτοῦ ἄνευ τῶν θυγατέρων, ἐάν τις καταλιπὼν γνησίας τελευτᾷ. Γνώσεσθε δὲ αὐ-

39 4 παλλακίᾳ Bek. : παλλακίδι || 6 ὡς add. Reiske || 40 1 τούτου Sauppe : τούτων || σιωπῶντος A^2 : -ποῦντος.

avoir laissées en mourant. Vous le reconnaîtrez par la lecture des lois mêmes. Lis aux juges ces lois.

Lois

43 Jugez-en : l'homme qui a déposé avoir donné sa sœur en mariage aurait-il permis semblable chose et, au moment où la demande d'envoi en possession était adressée par Endios, ne l'aurait-il pas contestée au nom de sa nièce et n'aurait-il pas fait opposition en attestant qu'on ne pouvait adjuger à Endios la succession laissée par le père de celle-ci ? Or notre frère a demandé l'envoi en possession[1] et n'a rencontré nulle opposition : lis le témoignage qui le prouve.

Témoignage

44 Donc, au moment de cet envoi en possession, Nikodémos n'osa pas revendiquer la succession, ni opposer, avec témoignage à l'appui, que sa nièce était une fille légitime laissée par Pyrrhos.

45 Au sujet de l'adjudication de l'héritage, on pourrait à la vérité, essayer devant vous des explications mensongères : mon adversaire pourrait feindre une ignorance de leur part, ou même nous accuser, nous, de mensonge. Laissons donc cet argument. Mais quand Endios a donné en mariage ta nièce à Xénoklès, tu as permis, toi, Nikodémos, qu'une fille, née de la femme légitime de Pyrrhos, fût mariée à cet homme dans les mêmes conditions que si Pyrrhos l'avait eue d'une courtisane. 46 Et tu n'as pas porté une dénonciation devant l'archonte[2] pour mauvais traitements infligés à une héritière, indignement traitée par un fils adoptif et dépouillée de la succession paternelle ? Pourtant, de toutes les actions en justice, c'est la seule qui ne comporte aucun risque pour qui

1. Le fils adopté par testament n'avait pas la saisine et devait demander l'envoi en possession, cf. § 60.

2. L'archonte éponyme avait sous sa garde les orphelins et les *épiklères* ou filles héritières ; cf. Aristote, *République des Athéniens*, 56, 6.

τῶν ἀκούσαντες τῶν νόμων ἀναγιγνώσκομένων. Ἀναγίγνωσκε τούσδε αὐτοῖς.

Νόμοι

43 Δοκεῖ ἂν ὑμῖν ὁ μεμαρτυρηκὼς ἐγγυῆσαι ἐπιτρέψαι ἄν τι τούτων γίγνεσθαι καὶ οὐκ ἂν ἐπὶ τοῦ κλήρου τῇ λήξει, ἣν ὁ Ἔνδιος λαχὼν ἐπεδικάζετο, ἀμφισβητῆσαι ἂν ὑπὲρ τῆς ἀδελφιδῆς τῆς ἑαυτοῦ καὶ οὐκ ἂν διαμαρτυρῆσαι μὴ ἐπίδικον τῷ Ἐνδίῳ τὸν ἐκείνης πατρῷον κλῆρον εἶναι; Ἀλλὰ μὴν ὥς γε ἐπεδικάσατο ὁ ἡμέτερος ἀδελφὸς τοῦ κλήρου καὶ οὐκ ἠμφεσβήτησεν οὐδεὶς ἐκείνῳ, ἀναγίγνωσκε τὴν μαρτυρίαν.

Μαρτυρία

44 Γενομένης τοίνυν τῆς ἐπιδικασίας ταύτης οὐκ ἐτόλμησεν ἀμφισβητῆσαι τοῦ κλήρου Νικόδημος οὐδὲ διαμαρτυρῆσαι τὴν ἀδελφιδῆν τὴν ἑαυτοῦ γνησίαν θυγατέρα Πύρρῳ καταλειφθῆναι.

45 Περὶ μὲν οὖν τῆς ἐπιδικασίας ἔχοι ἄν τις ψεῦδος προφασίσασθαι πρὸς ὑμᾶς· ἢ γὰρ λαθεῖν σφᾶς προσποιήσαιτ' ἂν οὗτος, ἢ καὶ ψεύδεσθαι αἰτιῷτ' ἂν ἡμᾶς. Τοῦτο μὲν οὖν παρῶμεν· ἐπειδὴ δὲ τῷ Ξενοκλεῖ ἠγγύα ὁ Ἔνδιος τὴν ἀδελφιδῆν σου, ἐπέτρεψας, ὦ Νικόδημε, τὴν ἐκ τῆς ἐγγυητῆς τῷ Πύρρῳ γεγενημένην ὡς ἐξ ἑταίρας ἐκείνῳ οὖσαν ἐγγυᾶσθαι; 46 Καὶ οὐκ [ἂν] εἰσήγγειλας πρὸς τὸν ἄρχοντα κακοῦσθαι τὴν ἐπίκληρον ὑπὸ τοῦ εἰσποιήτου οὕτως ὑβριζομένην καὶ ἄκληρον τῶν ἑαυτῆς πατρῴων καθισταμένην, ἄλλως τε καὶ μόνων τούτων τῶν δικῶν ἀκινδύνων τοῖς διώκουσιν οὐσῶν καὶ ἐξὸν τῷ βουλομένῳ βοηθεῖν ταῖς

43 1 δοκεῖ A^2 : δοκῆ || 4 ἀδελφιδῆς A^2 : ἀδελφῆς || 45 1 ἐπιδικασίας Reiske : διαδικασίας || 2 σφᾶς Bek. : ἡμᾶς || 46 1 ἂν del. Buerm. || εἰσηγγείλας Schoem. : -γελλες.

l'intente, et le premier venu a le droit de se porter défenseur d'une héritière. 47 En effet, aucune amende ne peut frapper les dénonciations faites devant l'archonte, même si les dénonciateurs n'obtiennent pas un seul suffrage ; il n'y a ni *avances* à faire ni *droits de justice* à payer[1] ; mais, tandis qu'aucun risque n'est encouru par l'accusateur, quel qu'il soit, l'accusé est exposé aux plus graves châtiments en de tels procès. 48 Dans ces conditions, si la nièce de cet homme était née de l'épouse légitime de notre oncle, Nikodémos aurait-il permis qu'elle fût mariée comme si elle était née d'une courtisane? Quand cela eut lieu, n'aurait-il pas dénoncé à l'archonte l'outrage fait à une héritière par celui qui la mariait aussi indignement? Et en fait, s'il y avait quelque vérité dans la déposition que tu as osé faire maintenant, c'est sur le champ, sans tarder, que tu aurais tiré vengeance de l'injustice. Feindras-tu, ici encore, l'ignorance? 49 Alors, la dot constituée à la mariée ne te donnait même pas l'éveil? C'était certes une raison suffisante pour t'indigner et pour dénoncer Endios, si, après avoir estimé juste de recueillir, comme lui revenant, une fortune de trois talents, il estimait juste de donner une dot de mille drachmes[2] à la fille légitime en la mariant à un autre. Devant cette conduite, Nikodémos ne se serait pas indigné et n'aurait pas accusé Endios? Allons donc, il l'eût fait, si la chose eût été vraie. 50 Mais j'imagine qu'en aucune manière, Endios — ou tout autre fils adoptif — n'aurait été assez sot, ni non plus assez dédaigneux des lois existantes pour agir ainsi à l'égard d'une fille légitime du défunt qui laissait l'héritage, et pour la donner à un autre au lieu de l'épouser lui-même. Car il savait fort bien que les enfants nés d'une fille légitime ont droit à l'héritage total de leur grand-père. Et, sachant cela, un homme ira-t-il faire cadeau à autrui de ses propres biens, surtout s'ils ont la valeur de ceux que revendiquent nos adversaires? 51 Imaginez-vous un fils adoptif assez

1. La distinction est faite entre les προυτανεῖα, remboursables en cas de succès, et des droits de justice (παράστασις) d'ailleurs minimes.

2. Selon les manuscrits, trois mille drachmes ; mais cf. § 51 : la dot n'atteint pas le dixième de la fortune de Pyrrhos.

ἐπικλήροις; 47 Οὔτε γὰρ ἐπιτίμιον ταῖς πρὸς τὸν ἄρχοντα εἰσαγγελίαις ἔπεστιν, οὐδὲ ἐὰν μηδεμίαν τῶν ψήφων οἱ εἰσαγγείλαντες μεταλάβωσιν, οὔτε πρυτανεῖα οὔτε παράστασις οὐδεμία τίθεται τῶν εἰσαγγελιῶν· ἀλλὰ τοῖς μὲν διώκουσιν ἀκινδύνως εἰσαγγέλλειν ἔξεστι, τῷ βουλομένῳ, τοῖς δ' ἁλισκομένοις ⟨αἷ⟩ ἔσχαται τιμωρίαι ἐπὶ ταῖς εἰσαγγελίαις ἔπεισιν. 48 Ἔπειτα εἰ ἦν ἐξ ἐγγυητῆς ἡ τούτου ἀδελφιδῆ τῷ ἡμετέρῳ θείῳ γεγενημένη, ἐπέτρεψεν ἂν Νικόδημος ὡς ἐξ ἑταίρας οὖσαν αὐτὴν ἐγγυᾶσθαι; Καὶ γενομένων αὐτῶν οὐκ ἂν εἰσήγγελλε πρὸς τὸν ἄρχοντα ὑβρίζεσθαι τὴν ἐπίκληρον ὑπὸ τοῦ οὕτως ἐγγυήσαντος αὐτήν; Καὶ εἰ ἦν ἀληθῆ ἃ νυνὶ τετόλμηκας μαρτυρῆσαι, παραχρῆμα εὐθὺς τότε ἐτιμωρήσω ἂν τὸν ἀδικοῦντα· ἢ καὶ ταῦτα λαθεῖν σεαυτὸν προσποιήσῃ; 49 Ἔπειτ' οὐδ' ἐκ τῆς ἐπιδοθείσης αὐτῇ προικὸς ᾔσθου; Ὥστε καὶ δι' αὐτὸ τοῦτο ἀγανακτήσαντι δήπου σοι εἰσαγγεῖλαι τὸν Ἔνδιον προσῆκεν, εἰ αὐτὸς μὲν τριτάλαντον οἶκον ἔχειν ἠξίου ὡς προσῆκον αὐτῷ, τῇ δὲ γνησίᾳ οὔσῃ ⟨θυγατρὶ⟩ [τρισ]χιλίας δραχμὰς προῖκα ἐπιδοὺς ἐκδοῦναι ἠξίωσεν ἄλλῳ. Εἶτ' ἐπὶ τούτοις οὐκ ἀγανακτήσας εἰσήγγειλεν ἂν τὸν Ἔνδιον οὗτος; Ναὶ μὰ Δία, εἴ γ' ἦν ἀληθὲς τὸ πρᾶγμα. 50 Οἶμαι δὲ οὐδ' ἂν τὴν ἀρχὴν ἐκεῖνον οὐδ' ἄλλον γε τῶν εἰσποιήτων οὐδένα οὕτως εὐήθη οὐδ' αὖ ὀλίγωρον τῶν νόμων τῶν κειμένων || γίγνεσθαι ὥσθ' ὑπαρχούσης γνησίας θυγατρὸς τῷ τὸν κλῆρον καταλιπόντι ἑτέρῳ δοῦναι ταύτην ἀνθ' ἑαυτοῦ. Ἀκριβῶς γὰρ ᾔδει διότι τοῖς γε ἐκ τῆς γνησίας θυγατρὸς παισὶ γεγονόσιν ἁπάντων τῶν παππῴων κληρονομία προσήκει. Εἶτα εἰδὼς ἄν τις ταῦτα ἑτέρῳ παραδοίη τὰ αὐτοῦ, καὶ ταῦτα τηλικαῦτα ὄντα ὅσων ἠμφεσβήτησαν οὗτοι; 51 Δοκεῖ δ' ἄν τις ὑμῖν οὕτως ἀναιδὴς ἢ τολμηρὸς εἰσ-

47 2 ἔπεστιν Reiske: ἔνεστιν || μηδεμίαν Bek.: οὐδεμίαν || 6 αἱ add. Schoem. || 48 6 καὶ A: ναὶ dubitanter Wyse || τετόλμηκας Reiske: -κασι || 49 4 προσῆκεν εἰ αὐτός A^2: προσήκει αὐτός || 5 θυγατρὶ add. et τρισ secl. Rauchenstein || 50 2 γε Scheibe: δὲ || 3 αὖ Bek.: ἄν.

impudent ou effronté pour ne pas même donner en dot à la fille légitime le dixième de la fortune paternelle[1] ? S'il l'eût osé, imaginez-vous que l'oncle l'eût permis, lui qui a attesté avoir donné la mère en mariage ? Pour moi, je n'en crois rien ; il eût revendiqué l'héritage, fait opposition, porté plainte devant l'archonte, et s'il avait existé d'autres moyens de droit plus énergiques, il les aurait tous mis en œuvre. **52** Or Endios a marié comme si elle était née d'une courtisane une fille que Nikodémos prétend être sa nièce ; et Nikodémos n'a pas jugé bon de contester à Endios l'héritage de Pyrrhos, ni, quand Endios mariait sa nièce comme la fille d'une courtisane, de le dénoncer devant l'archonte, ni de se plaindre de la dot qu'on lui assignait ; il a laissé tout faire. Pourtant il y a des lois bien précises sur tous ces points. **53** On va vous lire d'abord une seconde fois la déposition relative à l'adjudication de l'héritage, puis celle qui concerne la manière dont la femme fut mariée[2]. Lis aux juges.

Témoignages

Lis aussi ces textes de lois.

Lois

Lis encore la déposition de cet individu.

Témoignage

54 Comment un accusateur peut-il établir plus clairement le faux témoignage qu'en le faisant ressortir de la conduite des adversaires eux-mêmes et de toutes les lois établies par vous ?

1. Cette fortune était évaluée par Xénoklès à trois talents ou dix-huit mille drachmes ; cf. § 2.

2. L'union irrégulière semble avoir présenté néanmoins certaines formalités et certaines garanties.

ποίητος γενέσθαι ὥστε μηδὲ τὸ δέκατον μέρος ἐπιδοὺς ἐκδοῦναι τῇ γνησίᾳ θυγατρὶ τῶν πατρῴων; Γενομένων δὲ τούτων δοκεῖ ἂν ὑμῖν ὁ θεῖος ἐπιτρέψαι, ὁ ἐγγυῆσαι μεμαρτυρηκὼς αὐτῆς τὴν μητέρα; Ἐγὼ μὲν γὰρ οὐ νομίζω, ἀλλὰ καὶ ἠμφεσβήτησεν ἂν τοῦ κλήρου καὶ διεμαρτύρησε καὶ εἰσήγγειλεν ἂν πρὸς τὸν ἄρχοντα, καὶ ἄλλο εἴ τι ἦν ἰσχυρότερον τούτων, ἅπαντ' ἂν διεπράξατο. 52 Ὁ μὲν τοίνυν Ἔνδιος ὡς ἐξ ἑταίρας οὖσαν ἠγγύησεν, ἥν φησιν ἀδελφιδῆν Νικόδημος εἶναι αὐτῷ· οὗτος δὲ οὔτε τῷ Ἐνδίῳ τοῦ Πύρρου κλήρου ἀμφισβητῆσαι ἠξίωσεν, οὔτ' ἐγγυήσαντα τὴν ἀδελφιδῆν ⟨ὡς⟩ οὖσαν ἐξ ἑταίρας εἰσαγγεῖλαι πρὸς τὸν ἄρχοντα [ἠξίωσεν], οὔτ' ἐπὶ τῇ δοθείσῃ προικὶ αὐτῇ ἠγανάκτησεν οὐδέν, ἀλλὰ πάντα ταῦτα εἴασε γενέσθαι. Οἱ δὲ νόμοι περὶ ἁπάντων διορίζουσι τούτων. 53 Ἀναγνώσεται οὖν πρῶτον ὑμῖν τὴν περὶ τῆς ἐπιδικασίας τοῦ κλήρου μαρτυρίαν πάλιν, ἔπειτα τὴν περὶ τῆς ἐγγυήσεως τῆς γυναικός. Ἀναγίγνωσκε αὐτοῖς.

Μαρτυρίαι

Ἀνάγνωθι δὴ καὶ τοὺς νόμους.

Νόμοι

Λαβὲ δὴ καὶ τὴν τούτου μαρτυρίαν.

Μαρτυρία

54 Πῶς ἄν τις σαφέστερον ἐξελέγχοι ψευδομαρτυρίων διώκων ἢ ἔκ τε τῶν πεπραγμένων αὐτοῖς τούτοις ἐπιδεικνύων καὶ ἐκ τῶν νόμων ἁπάντων τῶν ὑμετέρων;

51 4 δοκεῖ A^2 : δοκῇ || 7 εἰσήγγειλεν Ald. : -γελλεν || 52 4 ἐγγυήσαντα A^2 : -σαντι A || 5 ὡς add. Reiske || 6 ἠξίωσεν del. Scheibe || 53 4 μαρτυρίαι Reiske : -ρία || 54 1 ἄν Gebauer : οὖν A οὖν <ἄν> Dob. || ἐξελέγχοι Ald. : -γχει || 3 ὑμετέρων Sauppe : ἡμετέρων.

J'en ai presque fini avec cet individu ; mais considérez la conduite du mari de la nièce, et voyez s'il n'en ressort pas aussi une preuve que Nikodémos a fait un faux témoignage. **55** Qu'il l'ait épousée et acceptée tout comme une fille de courtisane, cela a été prouvé et attesté par témoin. Et la véracité de ce témoignage est appuyée par Xénoklès en personne dont la conduite a prouvé depuis beau temps l'exactitude des faits. Il est bien évident en effet que, s'il n'avait pas reçu d'Endios cette femme comme née d'une courtisane, du moment qu'il en avait des enfants, qui sont déjà grands aujourd'hui, du vivant même d'Endios, il aurait revendiqué la succession paternelle au nom de la fille légitime, **56** d'autant plus qu'il se préparait à contester l'adoption d'Endios par Pyrrhos [1] ; car c'est bien contester l'adoption qu'attaquer le témoignage de ceux qui ont assisté au testament de Pyrrhos. Pour preuve de la vérité de mes dires, on va vous lire la déposition qui a été faite : lis aux juges.

Témoignage

57 Mais voici qui prouve encore qu'ils ne reconnaissent pas l'adoption d'Endios par Pyrrhos : au cas contraire, ils ne seraient pas passés par-dessus le dernier héritier de la fortune pour demander au nom de cette femme l'attribution de la succession de Pyrrhos. Pyrrhos est mort il y a plus de vingt ans, Endios, l'an dernier, en Metageitnion [2] : ils ont demandé l'envoi en possession deux jours, sans plus, après le décès. **58** Or la loi fixe pour la pétition d'hérédité un délai de cinq ans à dater de la mort de l'héritier [3]. Deux voies s'offraient assurément à cette femme : elle pouvait, du vivant d'Endios, revendiquer la succession paternelle, ou bien, à la mort du

1. Indication isolée dont la portée nous échappe ; cf. § 66.
2. Second mois de l'année attique (août-septembre).
3. Une succession peut être revendiquée pendant toute la vie de l'héritier envoyé en possession, et durant cinq ans après sa mort. Isée veut indiquer qu'il n'y avait nulle raison de hâte.

Περὶ μὲν οὖν τούτου σχεδὸν εἴρηται τὰ πολλά· σκέψασθε δὲ καὶ περὶ τοῦ ἔχοντος τὴν ἀδελφιδῆν τὴν τούτου γυναῖκα, ἐὰν ἄρα τι γένηται καὶ ἐκ τούτου τεκμήριον ὡς ἔστι ψευδῆ τὰ μεμαρτυρημένα Νικοδήμῳ. 55 Ὡς μὲν οὖν ἠγγυήσατο καὶ ἔλαβεν ὡς οὖσαν ἐξ ἑταίρας τὴν γυναῖκα, ἐπιδέδεικται καὶ μεμαρτύρηται· ὡς δ' ἀληθὴς ἡ μαρτυρία ἐστὶν αὕτη, ὁ Ξενοκλῆς αὐτὸς ἔργῳ οὐκ ὀλίγον χρόνον ἤδη ἀληθῆ ταῦτα μεμαρτύρηκε. Δῆλον γὰρ ὅτι εἰ μὴ ἠγγύητο παρὰ τοῦ Ἐνδίου ὡς ἐξ ἑταίρας οὖσαν τὴν γυναῖκα, ὄντων αὐτῷ παίδων ἤδη τηλικούτων ἐκ τῆς γυναικός, ζῶντι ἂν τῷ Ἐνδίῳ ἠμφεσβήτησεν ὑπὲρ τῆς γνησίας θυγατρὸς τῶν πατρῴων, 56 ἄλλως τε καὶ παρεσκευασμένος μὴ ὁμολογεῖν τὴν τοῦ Ἐνδίου ποίησιν τῷ Πύρρῳ γενέσθαι. Ὡς γὰρ οὐχ ὁμολογῶν [πῶς] ἐπεσκήπτετο τοῖς μεμαρτυρηκόσιν ἐπὶ τῇ διαθήκῃ τοῦ Πύρρου παραγενέσθαι. Καὶ ὡς ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὴν μαρτυρίαν τὴν μαρτυρηθεῖσαν. Ἀναγίγνωσκε αὐτοῖς.

Μαρτυρία

57 Ἀλλὰ μὴν κἀκεῖνό γε δηλοῖ ὡς οὐχ ὁμολογοῦσι τὴν τοῦ Ἐνδίου ποίησιν ὑπὸ τοῦ Πύρρου γενέσθαι· οὐ γὰρ ἂν ὑπερβάντες τὸν τελευταῖον τοῦ οἴκου γεγενημένον κληρονόμον ὑπὲρ τῆς γυναικὸς τοῦ Πύρρου κλήρου λαχεῖν τὴν λῆξιν ἠξίωσαν οὗτοι. Ὁ μὲν γὰρ Πύρρος πλείω ἢ εἴκοσιν ἔτη τετελεύτηκεν ἤδη, ὁ δὲ Ἔνδιος τοῦ Μεταγειτνιῶνος μηνὸς πέρυσιν, ἐν ᾧ ἔλαχον τοῦ κλήρου τὴν λῆξιν τρίτῃ ἡμέρᾳ εὐθέως οὗτοι. 58 Ὁ δὲ νόμος πέντε ἐτῶν κελεύει δικάσασθαι τοῦ κλήρου, ἐπειδὰν τελευτήσῃ ὁ κληρονόμος. Οὐκοῦν δυοῖν τὰ ἕτερα προσῆκε τῇ γυναικί, ἢ ζῶντι τῷ Ἐνδίῳ ἀμφισβητῆσαι τῶν πατρῴων, ἢ ἐπειδὴ τετελευτηκὼς

5 ἀδελφιδῆν A^2 : ἀδελφὴν || **55** 8 ἠμφεσβήτησεν ὑπὲρ Bek. : -σε περὶ || **56** 2 γὰρ Buerm. : δ' || 3 πῶς secl. Reiske : πως Ald. || ἐπεσκήπτετο Reiske : ἐπέσκηπτε || 5 ὑμῖν Ald. : ἡμῖν || **57** 1 δηλοῖ Schoem. : δῆλον.

fils adoptif, demander qu'il fût procédé à l'adjudication des biens de son frère, surtout si, comme nos adversaires l'affirment, il l'avait donnée en mariage à Xénoklès en la reconnaissant pour sa sœur légitime. **59** Car nous savons bien tous que nous pouvons réclamer l'héritage d'un frère, mais que s'il a engendré des enfants légitimes, nulle revendication n'est possible contre les droits des enfants. Il n'y a pas un mot à perdre sur ce point. Vous tous, et les autres citoyens comme vous, vous avez recueilli sans intervention judiciaire la fortune paternelle. **60** Eh bien ! l'effronterie de mes adversaires est si grande qu'ils déclarent d'une part qu'il n'y a pas lieu, pour un fils adoptif, de demander l'envoi en possession de la fortune qui lui a été léguée et que, d'autre part, pour cette Philé, dont ils font une fille légitime laissée par Pyrrhos, ils ont jugé bon de demander l'envoi en possession de la fortune paternelle. Et pourtant, comme je l'ai déjà dit précédemment, dans tous les cas où le défunt laisse des enfants légitimes, nés de lui, il n'y a pas lieu pour ces enfants de demander judiciairement l'attribution de leur patrimoine. Au contraire, quand on adopte des enfants par testament, ceux-ci doivent se faire envoyer en possession des biens qui leur ont été légués. **61** Les uns, parce qu'ils sont nés du défunt, sont protégés contre toute revendication touchant la succession paternelle ; les autres, les enfants adoptifs, sont en butte aux revendications de tous les membres de la famille. Aussi, pour empêcher le premier venu de revendiquer des successions et pour arrêter d'audacieuses réclamations d'un héritage soi-disant en déshérence, tous les enfants adoptifs demandent l'envoi en possession **62** Que nul de vous donc ne suppose que, si Xénoklès avait cru à la naissance légitime de sa femme, il eût demandé en son nom l'adjudication de la succession paternelle : la fille légitime se serait mise en possession de son patrimoine, et, si quelqu'un avait voulu l'en dépouiller ou recourir à la violence, il aurait dû l'expulser des biens paternels[1], et alors l'auteur de la violence n'aurait pas été exposé seulement à un procès civil : il encou-

1. Le texte présente une certaine ambiguïté.

ἦν ὁ εἰσποίητος, τῶν τοῦ ἀδελφοῦ τὴν ἐπιδικασίαν ἀξιοῦν ποιεῖσθαι, ἄλλως τε καὶ εἰ, ὥς φασιν οὗτοι, ἠγγυήκει αὐτὴν τῷ Ξενοκλεῖ ὡς γνησίαν ἀδελφὴν οὖσαν αὐτοῦ. 59 Ἀκριβῶς γὰρ ἐπιστάμεθα πάντες ὅτι ἀδελφῶν μὲν κλήρων ἐπιδικασία πᾶσίν ἐστιν ἡμῖν, ὅτῳ δὲ γόνῳ γεγόνασι γνήσιοι παῖδες, οὐδενὶ ἐπιδικάζεσθαι τῶν πατρῴων προσήκει. Καὶ περὶ τούτων οὐδένα λόγον λεχθῆναι δεῖ· ἅπαντες γὰρ ὑμεῖς || καὶ οἱ ἄλλοι πολῖται ἀνεπίδικα ἔχουσι τὰ ἑαυτῶν ἕκαστοι πατρῷα. 60 Οὗτοι τοίνυν εἰς τοῦτο τόλμης ἀφιγμένοι εἰσίν ὥστε τῷ μὲν εἰσποιήτῳ οὐκ ἔφασαν ἐπιδικάσασθαι προσήκειν τῶν δοθέντων, τῇ δὲ Φίλῃ, ἥν φασι θυγατέρα γνησίαν τῷ Πύρρῳ καταλελεῖφθαι, λαχεῖν τοῦ κλήρου τοῦ πατρῴου τὴν λῆξιν ἠξίωσαν. Καίτοι — ὅπερ εἶπον καὶ πρότερον — ὅσοι μὲν ⟨ἂν⟩ καταλίπωσι γνησίους παῖδας ἐξ αὐτῶν, οὐ προσήκει τοῖς παισὶν ἐπιδικάσασθαι τῶν πατρῴων· ὅσοι δὲ διαθήκαις αὐτοῖς εἰσποιοῦνται, τούτοις ἐπιδικάζεσθαι προσήκει τῶν δοθέντων. 61 Τοῖς μὲν γάρ, ὅτι γόνῳ γεγόνασιν, οὐδεὶς ἂν δήπου ἀμφισβητήσειε περὶ τῶν πατρῴων· πρὸς δε τοὺς εἰσποιήτους ἅπαντες οἱ κατὰ γένος προσήκοντες ἀμφισβητεῖν ἀξιοῦσιν. Ἵνα οὖν μὴ παρὰ τοῦ ἐντυχόντος τῶν κλήρων αἱ λήξεις [τοῖς ἀμφισβητεῖν βουλομένοις] γίγνωνται καὶ μὴ ὡς ἐρήμων τῶν κλήρων ἐπιδικάζεσθαί τινες τολμῶσι, τούτου ἕνεκα τὰς ἐπιδικασίας οἱ εἰσποίητοι πάντες ποιοῦνται. 62 Μηδεὶς οὖν ὑμῶν ἡγείσθω, εἰ ἐνόμιζε γνησίαν εἶναι τὴν ἑαυτοῦ γυναῖκα Ξενοκλῆς, λαχεῖν ἂν ὑπὲρ αὐτῆς τὴν λῆξιν τοῦ κλήρου τοῦ πατρῴου, ἀλλ' ἐβάδιζεν ἂν ἡ γνησία εἰς τὰ ἑαυτῆς πατρῷα καὶ, εἴ τις αὐτὴν ἀφῃρεῖτο ἢ ἐβιάζετο, ἐξῆγεν ἂν ἐκ τῶν πατρῴων καὶ οὐκ ἂν ἰδίας μόνον δίκας ἔφευγεν ὁ βιαζόμενος, ἀλλὰ καὶ δημοσίᾳ εἰσαγγελθεὶς πρὸς

60 6 εἶπον A^2: εἶχον || ἂν add. Dob. || 8 αὐτοῖς Dob. : αὐτοὶ || **61** 2 γεγόνασιν A^2 : -νόσιν || 5 παρὰ τοῦ ἐντυχόντος A : πρὸς τοὺς ἐντυχόντας Sauppe παρὰ τοῦ ἐπιτυχόντος Scheibe || 5-6 τοῖς ἀμφ. βουλ. secl. Platner || 7 τινες A^2 : τινος || **62** 7 πρὸς Reiske : εἰς.

rait encore une dénonciation au criminel devant l'archonte, où il risquait sa vie et toute sa fortune.

63 Mais d'ailleurs les oncles de Pyrrhos auraient pris les devants sur Xénoklès ; s'ils avaient su que leur neveu avait laissé une fille légitime et que nul de nous ne la voulait prendre pour femme, ils n'auraient pas permis que Xénoklès, entièrement étranger à la famille de Pyrrhos, prît et gardât une femme qui leur revenait par droit de famille. Sinon, leur conduite eût été absurde. 64 On voit le cas de filles, mariées par leur père et vivant avec leur mari — et qui, mieux que le père, aurait pu décider de leur établissement ? — pourtant, bien que mariées dans ces conditions, si leur père vient à mourir sans leur laisser de frères légitimes, d'après les termes de la loi, elles sont attribuées au parent le plus proche[1] ; bien des maris, vivant avec leurs femmes, en ont été ainsi séparés. 65 Ainsi, les filles établies par leur père sont, par le jeu de la loi, nécessairement soumises à la revendication ; mais Xénoklès aurait été laissé libre par tous les oncles de Pyrrhos, au cas où cette femme eût été la fille légitime de Pyrrhos, de la prendre et de la garder, en dépit des droits que leur conférait la parenté ; il aurait été institué héritier d'une telle fortune en leur lieu et place ! 66 N'en croyez rien, juges. Nul homme n'est l'ennemi de son intérêt ni ne fait passer des étrangers avant lui-même. S'ils allèguent que l'adoption d'Endios annulait leurs droits sur cette femme, et s'ils prétendent que cette raison les a détournés de toute revendication, il faut leur demander d'abord s'ils reconnaissaient l'adoption d'Endios par Pyrrhos en attaquant les témoins de cette adoption ; 67 ensuite pourquoi ils ont jugé bon de passer pardessus le dernier détenteur de la fortune pour revendiquer la succession de Pyrrhos d'une manière illégale. En outre, demandez-leur si jamais enfant légitime requit la dévolution judiciaire de ce qui lui appartenait de droit. Posez-leur ces

1. Cette prescription si rude a paru douteuse à beaucoup d'auteurs ; les uns la rejettent entièrement ; d'autres la limitent au cas où l'union est restée stérile. Une renonciation aux droits de l'épiklère pouvait sans doute empêcher la séparation (cf. X, 19).

τὸν ἄρχοντα ἐκινδύνευεν ἂν περὶ τοῦ σώματος καὶ τῆς οὐσίας ἁπάσης τῆς ἑαυτοῦ.

63 Ἔτι δ' ἂν πρότερον τοῦ Ξενοκλέους οἱ τοῦ Πύρρου θεῖοι, εἰ ᾔδεσαν γνησίαν θυγατέρα τῷ ἑαυτῶν ἀδελφιδῷ καταλειπομένην καὶ ἡμῶν μηδένα λαμβάνειν ἐθέλοντα αὐτήν, οὐκ ἄν ποτε ἐπέτρεψαν Ξενοκλέα, τὸν μηδαμόθεν μηδὲν γένει προσήκοντα Πύρρῳ, λαβόντα ἔχειν τὴν κατὰ γένος προσήκουσαν αὐτοῖς γυναῖκα. Ἢ δεινόν γ' ἂν εἴη. 64 Τὰς μὲν ὑπὸ τῶν πατέρων ἐκδοθείσας καὶ συνοικούσας ἀνδράσι γυναῖκας — περὶ ὧν τίς ἂν ἄμεινον ἢ ὁ πατὴρ βουλεύσαιτο; — καὶ τὰς οὕτω δοθείσας, ἐὰν ὁ πατὴρ αὐτῶν τελευτήσῃ μὴ καταλιπὼν αὐταῖς γνησίους ἀδελφούς, τοῖς ἐγγύτατα γένους ἐπιδίκους ὁ νόμος εἶναι κελεύει, καὶ πολλοὶ συνοικοῦντες ἤδη ἀφῄρηνται τὰς ἑαυτῶν γυναῖκας. 65 Εἶτα τὰς μὲν ὑπὸ τῶν πατέρων ἐκδοθείσας διὰ τὸν νόμον ἐξ ἀνάγκης ἐπιδίκους εἶναι προσήκει, Ξενοκλεῖ δὲ ἄν τις τόδ' ἐπέτρεψε τῶν τοῦ Πύρρου θείων, εἰ ἦν γνησία θυγάτηρ ἐκείνῳ καταλειπομένη, λαβόντα ἔχειν τὴν κατὰ γένος προσήκουσαν αὐτοῖς γυναῖκα καὶ τοσαύτης οὐσίας τοῦτον καταστῆναι κληρονόμον ἀνθ' ἑαυτῶν; Μὴ νομίσητε ὑμεῖς, ὦ ἄνδρες· 66 οὐδεὶς γὰρ ἀνθρώπων μισεῖ τὸ λυσιτελοῦν οὐδὲ περὶ πλείονος τοὺς ἀλλοτρίους ἑαυτοῦ ποιεῖται· ἐὰν οὖν προφασίζωνται διὰ τὴν τοῦ Ἐνδίου ποίησιν μὴ ἐπίδικον εἶναι τὴν γυναῖκα, καὶ διὰ ταῦτα μὴ φῶσιν ἀμφισβητῆσαι αὐτῆς, πρῶτον μὲν ἐκεῖνα αὐτοὺς ἐρέσθαι χρή, εἰ ὁμολογοῦντες τὴν τοῦ Ἐνδίου ποίησιν ὑπὸ τοῦ Πύρρου γενέσθαι ἐπεσκημμένοι εἰσὶ τοῖς μεμαρτυρηκόσι ταῦτα, 67 εἶτα ⟨τί⟩ παρελθόντες τὸν τελευταῖον τοῦ οἴκου γεγενημένον κληρονόμον τοῦ Πύρρου κλήρου τὴν λῆξιν λαχεῖν ἠξίωσαν παρὰ τὸν νόμον. Πρὸς δὲ τούτοις ἐκεῖνο αὐτοὺς ἔρεσθε, εἴ τις τῶν γνησίων ⟨τῶν⟩ αὐτοῦ

63 3 καταλειπομένην Steph.: -λ∗ιπομένην || 65 4 θυγάτηρ A^2: ∗∗∗∗ὴρ || 6 καταστῆναι Reiske: -στῆσαι || 67 1 τί (vel εἰ) add. Reiske || 4 τῶν add. Reiske.

questions pour confondre leur impudence. Quant au droit de revendication à l'égard de cette femme, au cas où sa naissance aurait été légitime, les lois vous le font clairement connaître. **68** En effet la loi déclare expressément qu'on peut disposer à son gré de ses biens en l'absence d'enfants mâles légitimes ; s'il existe des filles, il faut disposer d'elles en même temps. Ainsi, à condition de régler en même temps le sort des filles, on peut donner et léguer ses biens ; mais il n'est pas permis, sans disposer des filles légitimes, d'adopter et de léguer aucune partie de ses biens[1]. **69** Si donc, sans tenir compte de sa fille légitime, Pyrrhos avait adopté Endios, cette adoption n'aurait eu aucune valeur légale ; s'il lui avait légué sa fille et l'avait adopté sous cette réserve, comment auriez-vous permis, vous, les oncles de Pyrrhos, qu'Endios revendiquât la succession de Pyrrhos sans revendiquer en même temps la fille légitime que celui-ci aurait laissée, d'autant plus que, selon votre témoignage, votre neveu vous avait enjoint à sa mort de veiller sur sa fille ? **70** Et, dis-moi, toi, mon brave homme, allez-vous prétendre que vous n'avez pas eu connaissance non plus de cela ? Mais quand Endios a fiancé et marié cette femme, vous permettiez, vous, les oncles, que la fille de votre propre neveu fût donnée en mariage à ce Xénoklès comme si Pyrrhos l'avait eue d'une courtisane ? Conduite d'autant plus singulière que vous prétendez avoir assisté au mariage de votre neveu avec la mère de cette femme, célébré selon toutes les formes légales ; que vous auriez aussi assisté au banquet du dixième jour après la naissance de cette fille ! **71** Ajoutez ceci — car c'est le plus grave : vous prétendez que votre neveu vous a confié solennellement le soin de cet enfant, et le soin que vous en avez pris a été de permettre qu'on la mariât comme une fille de courtisane, alors qu'elle portait le nom de votre propre sœur, du moins selon votre témoignage ?

72 Ces arguments, juges, et aussi un fait matériel, per-

1. Cela revient à dire que le fils adoptif doit prendre en mariage l'une des filles légitimes, s'il y en a plusieurs, et assurer une dot aux autres.

ἐπιδικάζεσθαι ἀξιοῖ. Ταῦτα πρὸς τὴν ἀναίδειαν αὐτῶν πυνθάνεσθε. Ὡς δ' ἦν ἐπίδικος ἡ γυνή, εἴ περ γνησία καταλειφθείη, ἐκ τῶν νόμων σαφέστατα μαθεῖν ἔστι τοῦτο. 68 Ὁ γὰρ νόμος διαρρήδην λέγει ἐξεῖναι διαθέσθαι ὅπως ἂν ἐθέλῃ τις τὰ αὐτοῦ, ἐὰν μὴ παῖδας γνησίους καταλίπῃ ἄρρενας· ἐὰν δὲ θηλείας καταλίπῃ, σὺν ταύταις. Οὐκοῦν μετὰ τῶν θυγατέρων ἔστι δοῦναι καὶ διαθέσθαι τὰ αὐτοῦ· ἄνευ δὲ τῶν γνησίων θυγατέρων οὐχ οἷόν τε οὔτε ποιήσασθαι οὔτε δοῦναι οὐδενὶ οὐδὲν τῶν ἑαυτοῦ. 69 Οὐκοῦν εἰ μὲν ἄνευ τῆς γνησίας θυγατρὸς τὸν Ἔνδιον Πύρρος ἐποιεῖτο ὑὸν αὐτῷ, ἄκυρος ἂν ἦν αὐτοῦ ἡ ποίησις κατὰ τὸν νόμον· εἰ δὲ τὴν θυγατέρα ἐδίδου καὶ ἐπὶ τούτῳ ποιησάμενος κατέλιπε, πῶς ἂν ὑμεῖς ‖ ἐπετρέψατε ἐπιδικάζεσθαι, οἱ τοῦ Πύρρου θεῖοι, τὸν Ἔνδιον τοῦ Πύρρου κλήρου ἄνευ τῆς γνησίας θυγατρός, εἰ ἦν ἐκείνῳ, ἄλλως τε καὶ εἰ, ὡς ἐμαρτυρήσατε, ἐπέσκηψεν ὑμῖν ὁ ἀδελφιδοῦς ἐπιμελεῖσθαι τούτου τοῦ παιδίου; 70 Ἀλλ', ὦ ἀγαθέ, τοῦτο μὲν καὶ λαθεῖν φήσαιτ' ἂν ὑμᾶς· ὅτε δ' ἠγγύα καὶ ἐξεδίδου ὁ Ἔνδιος τὴν γυναῖκα, ἐπετρέπετε ὑμεῖς οἱ θεῖοι τὴν τοῦ ἀδελφιδοῦ τοῦ ὑμετέρου αὐτῶν ὡς ἐξ ἑταίρας οὖσαν ἐκείνῳ ἐγγυᾶσθαι, ἄλλως τε καὶ παραγενέσθαι φάσκοντες, ὅτε ὁ ἀδελφιδοῦς ὑμῶν ἠγγυᾶτο τὴν μητέρα τὴν ταύτης κατὰ ⟨τοὺς⟩ νόμους ἕξειν γυναῖκα, ἔτι δὲ καὶ ἐν τῇ δεκάτῃ τῇ ταύτης κληθέντες συνεστιᾶσθαι; 71 Πρὸς δὲ τούτοις — τουτὶ γὰρ τὸ δεινόν ἐστιν — ἐπισκῆψαι φάσκοντες ὑμῖν τὸν ἀδελφιδοῦν ἐπιμελεῖσθαι τούτου τοῦ παιδίου, οὕτως ἐπεμελήθητε ὥστ' ἐᾶσαι ὡς ἐξ ἑταίρας οὖσαν αὐτὴν ἐγγυᾶσθαι, ἄλλως τε καὶ ἔχουσαν τοὔνομα τῆς ὑμετέρας αὐτῶν ἀδελφῆς, ὡς ἐμαρτυρεῖτε;

72 Ἐκ τοίνυν τούτων, ὦ ἄνδρες, καὶ ἐξ αὐτοῦ τοῦ

69 6 οἱ τοῦ Πύρρου θεῖοι Buerm.: τῶ τ. Π. θείω ‖ 7 καὶ εἰ, ὡς ἐμαρτυρήσατε, ἐπέσκηψεν Naber: εἰ καὶ ἐμαρτ. ὡς ἐπεσκ. ‖ **70** 3 τὴν γυναῖκα Schedae Etonianae: τῇ γυναικὶ ‖ 7 τοὺς add. Schoem. ‖ 8 συνεστιᾶσθαι A^2: συνίστασθαι ‖ **71** 4 ἐπεμελήθητε A^2: ἐπιμε-.

mettent aisément de reconnaître l'impudence de ces individus. Pourquoi donc, en effet, notre oncle, laissant après lui une fille légitime, a-t-il adopté mon frère ? Avait-il des parents plus proches que nous auxquels il voulait enlever le droit de revendiquer sa fille en adoptant mon frère[1] ? Mais il n'y avait pas et il n'y a pas, en l'absence d'enfants légitimes, de parents plus proches que nous, pas un seul. Pyrrhos n'avait ni frères ni neveux nés d'un frère, et nous, nous étions les enfants de sa sœur. **73** Mais, par Dieu, dira-t-on, il aurait pu adopter quelque autre parent et lui donner à la fois son héritage et sa fille[2]. Quel besoin aurait-il eu de s'exposer ouvertement au ressentiment d'un de ses proches, quand il lui était loisible, s'il avait une union régulière avec la sœur de Nikodémos, de reconnaître la fille qui en était née et de la présenter dans sa phratrie[3] comme sa fille légitime, d'obtenir par là qu'à sa mort elle dût être revendiquée avec toute la succession, d'enjoindre enfin qu'un des enfants nés d'elle lui fût donné comme fils adoptif ? **74** Car, de toute évidence, en la laissant comme héritière, il savait fort bien qu'il arriverait de deux choses l'une. Ou bien l'un de nous, qui étions les plus proches, revendiquerait la fille pour l'épouser, ou bien, si nul de nous ne la voulait prendre, elle passait à l'un de ces oncles qui viennent déposer aujourd'hui, sinon, à un autre parent, toujours dans les mêmes conditions, c'est-à-dire que sa main serait revendiquée en même temps que la totalité de la succession, conformément aux lois. **75** En présentant sa fille dans sa phratrie et sans adopter mon frère, il aurait obtenu ce résultat ; mais, en adoptant mon frère et en ne présentant pas sa fille, il a fait de l'une une bâtarde,

1. Comme on le voit par la suite, la loi déterminait l'ordre selon lequel les parents étaient appelés à revendiquer la main d'une orpheline héritant des biens de son père.

2. L'argumentation est déconcertante, et nul essai d'interprétation ne donne un sens satisfaisant.

3. La présentation à la phratrie ne paraît pas avoir été un argumeut décisif pour prouver la légitimité d'une fille, car l'affirmation du père n'y était pas, semble-t-il, discutée à l'ordinaire ; cf. la notice du discours VIII.

πράγματος ῥᾴδιόν ἐστι γνῶναι ὅσον ἀναισχυντότατοι ἀνθρώπων εἰσὶν οὗτοι. Τίνος γὰρ ἕκενα, εἰ ἦν γνησία θυγάτηρ τῷ ἡμετέρῳ θείῳ καταλειπομένη, ποιησάμενος ὁ θεῖος κατέλιπε τὸν ἐμὸν ἀδελφὸν ὑὸν ἑαυτῷ; Πότερον ὅτι προσήκοντες αὐτῷ ἐγγυτέρω γένους ἡμῶν ἦσαν ἄλλοι, οὓς βουλόμενος τὴν ἐπιδικασίαν τῆς θυγατρὸς ἀποστερῆσαι ἐποιεῖτο τὸν ⟨ἐμὸν⟩ ἀδελφὸν ὑὸν αὐτῷ; Ἀλλ᾽ οὔτε ἐγένετο οὔτ᾽ ἔστι, μὴ γενομένων γε παίδων γνησίων ἐκείνῳ, ἐγγυτέρω ἡμῶν οὐδὲ εἷς· ἀδελφὸς μὲν γὰρ οὐκ ἦν αὐτῷ οὐδ᾽ ἀδελφοῦ παῖδες, ἐκ δὲ τῆς ἀδελφῆς ἡμεῖς ἦμεν αὐτῷ. 73 Ἀλλὰ νὴ Δία ἄλλον τινὰ ποιησάμενος τῶν συγγενῶν ἔδωκεν ἂν ἔχειν τὸν κλῆρον καὶ τὴν θυγατέρα τὴν ἑαυτοῦ· καὶ τί αὐτὸν ἔδει καταφανῶς καὶ ὁτῳοῦν ἀπέχθεσθαι τῶν οἰκείων, ἐξόν, εἴπερ ἦν ἠγγυημένος τὴν ἀδελφὴν τὴν Νικοδήμου, τὴν θυγατέρα τὴν ἐκ ταύτης ἀποφανθεῖσαν εἶναι εἰς τοὺς φράτερας εἰσαγαγόντι ὡς οὖσαν γνησίαν ἑαυτῷ, ἐπὶ ἅπαντι τῷ κλήρῳ ἐπίδικον καταλιπεῖν αὐτὴν καὶ ἐπισκῆψαι τῶν γιγνομένων ⟨ἐκ⟩ τῆς θυγατρὸς παίδων εἰσαγαγεῖν ὑὸν ἑαυτῷ; 74 Δῆλον μὲν γὰρ ὅτι ἐπίκληρον [μὲν] καταλιπὼν ἀκριβῶς ἂν ᾔδει ὅτι δυοῖν θάτερον ἔμελλεν ὑπάρχειν αὐτῇ· ἢ γὰρ ἡμῶν τινα τῶν ἐγγύτατα γένους ἐπιδικασάμενον ἕξειν γυναῖκα, ἢ εἰ μηδεὶς ἡμῶν ἐβούλετο λαμβάνειν, τῶν θείων τινὰ τούτων τῶν νῦν μαρτυρούντων, εἰ δὲ μή, τῶν ἄλλων τινὰ συγγενῶν τὸν αὐτὸν τρόπον ἐπὶ πάσῃ τῇ οὐσίᾳ ἐπιδικασάμενον κατὰ τοὺς νόμους ἕξειν ταύτην γυναῖκα. 75 Οὐκοῦν ἐκ μὲν τοῦ τὴν θυγατέρα εἰς τοὺς φράτερας εἰσαγαγεῖν καὶ μὴ ποιήσασθαι τὸν ἐμὸν ἀδελφὸν ὑὸν αὐτῷ ταῦτ᾽ ἂν διεπράξατο· ἐκ δὲ τοῦ τοῦτον μὲν ποιήσασθαι, τὴν δὲ μὴ εἰσαγαγεῖν, τὴν μὲν νόθην, ὥσπερ αὐτῷ προσῆκε, καὶ ἄκλη-

72 4 καταλειπομένη Steph. : -λ * ιπομένη || 6 ἡμῶν A^2 : ὑμῶν || 8 ἐμόν add. Naber || 9 γε Dob. : δὲ || 10 οὐδὲ εἷς A : οὐδεεὶς A^2 || **73** 2 post ἑαυτοῦ interrog. sign. volg. || 7 ante τῶν erasum ἐκ || 8 ἐκ add. Reiske || **74** 1 μὲν γὰρ duplici linea inducta || μὲν secl. Bek. || 6 ἐπὶ πάσῃ τῇ οὐσίᾳ Wyse : περὶ πάσης τῆς οὐσίας || 7 ἕξειν Reiske : ἔχειν || **75** 2 αὐτῷ Ald. : αὐτῶ A^1 || 2-3 ταῦτ᾽ἂν Ald. : ταῦτα.

— comme il le devait — impropre à succéder, il a institué l'autre héritier de ses biens. 76 Or, notre oncle n'a jamais offert de repas de noces[1] et cette fille dont nos adversaires attestent la légitimité, jamais il n'a jugé bon de la présenter aux membres de la phratrie, en dépit de leurs statuts; pour le prouver on va vous lire le témoignage des membres de sa phratrie. Lis, toi, et toi, arrête l'horloge.

Témoignage

Prends encore le témoignage établissant l'adoption de mon frère.

Témoignage

77 Dans ces conditions, estimerez-vous que le témoignage apporté ici par Nikodémos soit plus recevable que les témoignages indirects qui viennent de notre oncle lui-même? Voici une femme qui appartenait indistinctement à qui la voulait : entreprendra-t-on de vous persuader que notre oncle l'avait épousée dans les formes? Mais vous, j'imagine, vous ne le croirez pas, à moins qu'on ne vous fasse connaître, comme je l'ai dit au début, 78 d'abord quelle dot Nikodémos a constituée à sa sœur en la mariant à Pyrrhos, comme il le prétend, ensuite à quel magistrat s'est adressée cette légitime épouse pour quitter son mari ou le domicile conjugal, ensuite qui a restitué à Nikodémos la dot après la mort du prétendu mari. Si malgré ses réclamations il n'a pu, en vingt ans, obtenir la restitution, que Nikodémos dise quelle action en vue d'obtenir une pension alimentaire ou la restitution de la dot, il a introduite au nom de l'épouse légitime contre le détenteur de la succession de Pyrrhos. 79 Qu'il nous dise en outre à qui il a marié sa sœur soit avant soit après, et si, de quelque autre, elle a eu des enfants. Exigez donc qu'il

1. La γαμηλία consistait vraisemblablement en un sacrifice suivi d'un banquet, donné à l'occasion d'un mariage et où participaient tous les membres de la phratrie.

ρον κατέστησε, τὸν δὲ κληρονόμον κατέλιπεν τῶν ἑαυτοῦ. 76 Ἀλλὰ μὴν ὥς γε οὔτε γαμηλίαν εἰσήνεγκεν ὁ θεῖος ἡμῶν, οὔτε τὴν θυγατέρα, ἣν φασι γνησίαν αὐτοῦ εἶναι οὗτοι, εἰσαγαγεῖν εἰς τοὺς φράτερας ἠξίωσε, καὶ ταῦτα νόμου ὄντος αὐτοῖς, ἀναγνώσεται [δὲ] ὑμῖν τὴν τῶν φρατέρων τῶν ἐκείνου μαρτυρίαν. Ἀναγίγνωσκε· σὺ δ' ἐπίλαβε τὸ ὕδωρ.

Μαρτυρία

Λαβὲ δὲ καὶ ὡς ἐποιήσατο τὸν ἐμὸν ἀδελφὸν υἱὸν αὐτῷ.

Μαρτυρία

77 Εἶτα ὑμεῖς τὴν Νικοδήμου μαρτυρίαν τῶν αὐτοῦ τοῦ θείου ἐκμαρτυριῶν πιστοτέραν ἡγήσεσθε εἶναι, καὶ τὴν οὕτω κοινὴν τοῖς βουλομένοις γεγενημένην, ταύτην ἐπιχειρήσει τις ὑμᾶς πείθειν ὅτι ἐγγυητὴν γυναῖκα ὁ ἡμέτερος θεῖος ἔσχεν ; Ἀλλ' ὑμεῖς, ὡς ἔγωγ' οἶμαι, οὐ πιστεύσετε, ἐὰν μὴ ἀποφαίνῃ ὑμῖν, ὅπερ ἀρχόμενος εἶπον τοῦ λόγου, 78 πρῶτον μὲν ἐπὶ τίνι προικὶ οὗτος ἐγγυῆσαι τῷ Πύρρῳ φησὶ τὴν ἀδελφήν, ἔπειτα πρὸς ὁποῖον ἄρχοντα ἡ ἐγγυητὴ γυνὴ ἀπέλιπε τὸν ἄνδρα ἢ τὸν οἶκον [τὸν] αὐτοῦ, εἶτα παρ' ὅτου ἐκομίσατο τὴν προῖκα οὗτος, ἐπειδὴ τετελευτηκὼς ἦν ᾧ φησιν αὐτὴν ἐγγυῆσαι· ἢ, εἰ ἀπαιτῶν μὴ ἐδύνατο κομίσασθαι || ἐν εἴκοσιν ἔτεσιν, ὁποίαν δίκην σίτου ἢ τῆς προικὸς αὐτῆς ὑπὲρ τῆς ἐγγυητῆς γυναικὸς ἐδικάσατο τῷ ἔχοντι τὸν Πύρρου κλῆρον οὗτος. 79 Ἔτι δὲ πρὸς τούτοις ἐπιδειξάτω ὅτῳ πρότερον ἢ ὕστερον ἠγγύησεν οὗτος τὴν ἀδελφήν, ἢ εἰ ἐξ ἄλλου τινὸς γεγενημένοι εἰσὶ παῖδες

76 1 ὥς γε Ald. : ὥστε || 3 ἠξίωσε· A² : -σαν || 4 δὲ secl. Dob. || 5 ἐπιλαβε Steph. : ἐπίβαλλε || **77** 5 πιστεύσετε Steph. : πιστεύετε || **78** 3 τὸν secl. Baiter-Sauppe || 4 οὗτος dubitanter Wyse : αὐτῆς A αὐτὸς A¹ || 5 ὦ A² : ὃ || αὐτὴν A² : αὐτῆς.

réponde à toutes ces questions, et n'oubliez pas de l'interroger sur le repas de noces donné à la phratrie, car ce n'est pas l'un des moindres indices qui ruinent son témoignage. Il est bien clair en effet que si Pyrrhos avait été amené à ce mariage, il aurait été amené aussi à offrir le repas de noces à sa phratrie et à présenter à sa phratrie, comme sa fille légitime, l'enfant qu'on déclare née de cette femme. 80 D'autre part, dans son dème, un homme qui possédait trois talents de fortune, aurait été tenu, s'il avait été marié, d'offrir au nom de sa femme légitime le repas des Thesmophories[1] aux femmes du dème et de satisfaire aux autres obligations qui lui incombaient dans son dème du chef de sa femme, du moment qu'il était si riche. Or on verra bien qu'il n'en a jamais rien fait. Les membres de sa phratrie ont déjà déposé devant vous ; prends maintenant le témoignage des gens de son dème.

⟨Témoignage⟩

1. Cf. le discours VIII, § 19.

αὐτῇ. Ταῦτα οὖν ἀξιοῦτε πυνθάνεσθαι παρ᾽ αὐτοῦ, καὶ περὶ τῆς τοῖς φράτερσι γαμηλίας μὴ ἀμνημονεῖτε· οὐ γὰρ τῶν ἐλαχίστων πρὸς τὴν τούτου μαρτυρίαν τεκμήριόν ἐστι τοῦτο. Δῆλον γὰρ ὅτι, εἰ ἐπείσθη ἐγγυήσασθαι, ἐπείσθη ἂν καὶ γαμηλίαν ὑπὲρ αὐτῆς τοῖς φράτερσιν εἰσενεγκεῖν καὶ εἰσαγαγεῖν τὴν ἐκ ταύτης ἀποφανθεῖσαν θυγατέρα ὡς γνησίαν οὖσαν αὐτῷ. 80 [Καὶ] ἔν τε τῷ δήμῳ, κεκτημένος τὸν τριτάλαντον οἶκον, εἰ ἦν γεγαμηκώς, ἠναγκάζετο ἂν ὑπὲρ τῆς γαμετῆς γυναικὸς καὶ θεσμοφόρια ἑστιᾶν τὰς γυναῖκας καὶ τἆλλα ὅσα προσῆκε λητουργεῖν ἐν τῷ δήμῳ ὑπὲρ τῆς γυναικὸς ἀπό γε οὐσίας τηλικαύτης. Οὐ τοίνυν φανεῖται οὐδὲν τούτων γεγενημένον οὐδεπώποτε· οἱ μὲν οὖν φράτερες μεμαρτυρήκασιν ὑμῖν· λαβὲ δὲ καὶ τὴν τῶν δημοτῶν τῶν ἐκείνου μαρτυρίαν.

⟨Μαρτυρία⟩

79 6 τούτου Ald. : τούτων || 80 1 καὶ secl. Fuhr || 7 δὲ Bek. : δὴ || 9 μαρτυρία add. Reiske.

IV

NOTICE

Nikostratos était un de ces Grecs qui, s'engageant comme mercenaires, cherchaient fortune à l'étranger. Il avait quitté Athènes onze ans auparavant ; à sa mort, il laissait deux talents. L'importance de cette succession souleva bien des convoitises (§ 7 et suiv.). Tous les autres concurrents furent évincés d'abord par deux frères, Hagnon et Hagnothéos, qui se firent reconnaître comme les cousins germains de Nikostratos. Mais alors se présenta Chariadès, un soldat qui prétendait avoir été en relations d'affaires avec Nikostratos et qui produisit un testament du défunt en sa faveur. Il déclarait en outre qu'Hagnon et Hagnothéos n'avaient aucun lien de parenté avec Nikostratos, attendu qu'il n'était pas fils de Thrasymachos, comme eux l'avaient prétendu, mais bien fils de Smikros. La lutte entre les héritiers naturels et l'héritier institué se complique donc d'une question d'identité.

Nous n'avons ici qu'un plaidoyer complémentaire (συνηγορία) prononcé par un ami des deux frères (voir l'*hypothésis*). L'un d'eux avait parlé le premier et avait dû discuter d'une manière précise l'état civil de Nikostratos et l'authenticité de son testament, questions effleurées ici avec désinvolture. La majeure partie du discours est occupée par des lieux communs, puisés aux répertoires de la rhétorique.

Le procès eut lieu sans doute peu après 374 (cf. p. 76, note 1).

IV

LA SUCCESSION DE NIKOSTRATOS

(Discours complémentaire.)

Sujet du discours

Nikostratos étant mort à l'étranger, Hagnon et Hagnothéos, en leur qualité de cousins germains, dont le père était frère consanguin de celui de Nikostratos, revendiquent sa succession contre Chariadès qui se prétend son légataire, institué par testament. C'est l'orateur Isée qui, à titre de parent d'Hagnon et de son frère, prend la parole pour les assister [1]. Le débat porte sur une question de fait.

1 Ce sont de bons amis pour moi, juges, qu'Hagnon ici présent et Hagnothéos, et leur père l'était avant eux. Il me paraît donc juste, selon mes moyens, de parler pour eux.

Pour ce qui s'est passé à l'étranger, il n'est ni possible de trouver des témoins ni facile de convaincre de mensonge les adversaires, car ni l'un ni l'autre de mes amis n'est allé là-bas; mais ce qui s'est passé ici vous prouve suffisamment, ce me semble, que tous les prétendus légataires de Nikostratos

1. Cette affirmation ne mérite aucune créance. Tout d'abord, celui qui parle est un ami des frères et non un parent. En outre, Isée semble bien avoir été un métèque et, partant, n'avoir eu nul droit de prendre la parole devant un tribunal athénien. On remarquera enfin que le concours d'un professionnel de l'éloquence judiciaire ne pouvait guère recommander une cause.

IV

ΠΕΡΙ ΤΟΥ ΝΙΚΟΣΤΡΑΤΟΥ ΚΛΗΡΟΥ

⟨ΕΠΙΛΟΓΟΣ⟩

Ὑπόθεσις

Νικοστράτου ἐν ὑπερορίᾳ τελευτήσαντος, Ἄγνων καὶ Ἀγνόθεος ὡς ὄντες ἀνεψιοὶ ἐκ πατραδέλφων ἀμφισβητοῦσι τοῦ κλήρου πρὸς Χαριάδην, φάσκοντα κληρονόμον αὐτοῦ εἶναι κατὰ δόσιν, ὅ ἐστι κατὰ διαθήκας. Ἰσαῖος οὖν ὁ ῥήτωρ, ὡς συγγενὴς ὢν τῶν περὶ τὸν Ἄγνωνα, λέγει συνηγορῶν αὐτοῖς. Ἡ στάσις στοχασμός.

1 Ἐπιτήδειοί μοι τυγχάνουσιν, ὦ ἄνδρες, ὄντες Ἄγνων τε οὗτοσὶ καὶ Ἀγνόθεος, καὶ ὁ πατὴρ αὐτῶν ἔτι πρότερον. Εἰκὸς οὖν μοι δοκεῖ εἶναι, ὡς ἂν οἷός τε ὦ, συνειπεῖν αὐτοῖς.

Περὶ μὲν οὖν τῶν ἐν τῇ ὑπερορίᾳ πραχθέντων [ὡς] οὔτε μάρτυρας ἐξευρεῖν οἷόν τε, οὔτε τοὺς ἀντιδίκους, ἐάν τι ψεύδωνται, ἐλέγχειν ῥᾴδιον, διὰ τὸ μηδέτερον τούτων ἐκεῖσε ἀφῖχθαι· τὰ δὲ ἐνθάδε [μοι] συμβεβηκότα δοκεῖ μοι ὑμῖν ἱκανὰ γενέσθαι ἂν τεκμήρια, ὅτι ἅπαντες οἱ κατὰ τὴν δόσιν τῶν Νικοστράτου ἀμφισβητοῦντες

Tit. ἐπίλογος add. Baiter-Sauppe || *Hyp.* 2 πατραδέλφων A : -φου A².
1 5 ὡς secl. Ald. : ἴσως Dob. || 8 μοι secl. Bek. || 9 μοι add. A¹, prius (v. 8) non expunxit.

veulent vous tromper. 2 Tout d'abord, juges, il convient de considérer les noms attribués au défunt, et de rechercher quelle partie a demandé l'envoi en possession de la manière la plus simple et la plus naturelle. Hagnon que voici et Hagnothéos ont inscrit dans leur demande qu'il s'agissait de Nikostratos, fils de Thrasymachos ; ils déclarent qu'ils sont ses cousins germains et le prouvent par des témoins. 3 Mais Chariadès et ses assistants affirment que leur Nikostratos a pour père Smikros, et cependant ils revendiquent la succession du fils de Thrasymachos. Mes amis n'élèvent aucune prétention relativement à un personnage du nom que les autres disent : ils ne le connaissent pas ; il ne leur est rien. Ils affirment qu'il s'agit de Nikostratos, fils de Thrasymachos et c'est de lui que semblablement ils revendiquent les biens. 4 Si l'on s'accordait sur le patronymique de Nikostratos et qu'on disputât seulement sur la succession, vous n'auriez qu'à rechercher si un testament a été fait par ce Nikostratos sur l'identité duquel les deux parties s'accorderaient. Mais, dans le cas présent, comment est-il possible d'assigner à un homme deux pères ? C'est bien ce qu'a fait Chariadès ; il a revendiqué pour son compte la succession de Nikostratos, fils de Smikros, et contre mes clients, qui réclament celle du fils de Thrasymachos, il a fait opposition[1], comme s'il s'agissait du même homme. 5 Tout cela n'est que manœuvre et chicane. On pense que, si on ne complique pas l'affaire, si on ne trouble pas la défense, les adversaires n'auront pas de peine à démontrer que Nikostratos n'a pas fait de testament ; mais, si l'on prétend que le père n'est pas le même et si l'on n'en revendique pas moins la succession, on sait que mes clients devront dépenser plus de paroles à établir que Nikostratos est le fils de Thrasymachos qu'à prouver l'absence de testament. 6 De plus, en accordant que Nikostratos est le fils de Thrasymachos, on ne pourrait démontrer que mes clients ne sont pas ses cousins ; mais en inventant au défunt un autre père,

1. Littéralement il a consigné des droits de revendication (παρακαταβολή) ; entre cette revendication avec consignation de droits et la revendication simple (ἀμφισβήτησις), la distinction n'est pas nette.

ἐξαπατῆσαι ὑμᾶς βούλονται. 2 Πρῶτον μὲν οὖν, ὦ ἄνδρες, περὶ τῆς τῶν ὀνομάτων ἐπιγραφῆς ἄξιόν ἐστιν ἐξετάσαι καὶ σκέψασθαι ὁπότεροι ἁπλούστερον καὶ κατὰ φύσιν μᾶλλον τὰς λήξεις ἐποιήσαντο. Ἄγνων μὲν γὰρ οὗτοσὶ καὶ Ἀγνόθεος Θρασυμάχου ἐπεγράψαντο τὸν Νικόστρατον καὶ ἑαυτοὺς ἐκείνῳ ἀνεψιοὺς ἀποφαίνουσι καὶ τούτων μάρτυρας παρέχονται· 3 Χαριάδης δὲ καὶ οἱ συνδικοῦντες αὐτῷ Σμίκρου μὲν πατρὸς εἶναί φασι τὸν Νικόστρατον, ἀμφισβητοῦσι δὲ τοῦ Θρασυμάχου υἱοῦ κλήρου. Καὶ οἵδε μὲν οὐδὲν προσποιοῦνται ἐκείνου τοῦ ὀνόματος οὔτε γιγνώσκειν οὔτε προσήκειν αὐτοῖς· φασὶ μὲν οὖν εἶναι Θρασυμάχου Νικόστρατον, τούτου δὲ ὁμοίως τῆς οὐσίας ἀμφισβητοῦσι. 4 Καὶ εἰ μὲν τὸ ὄνομα πατρόθεν τὸ αὐτὸ ὡμολόγουν εἶναι τοῦ Νικοστράτου, περὶ δὲ τοῦ κλήρου μόνου διεφέροντο, οὐδὲν ἂν ἔδει ὑμᾶς σκέψασθαι ἄλλ' ⟨ἢ⟩ εἴ τι διέθετο ἐκεῖνος ὁ Νικόστρατος, ὃν ἀμφότεροι ὡμολόγουν· νῦν δὲ πῶς οἷόν τε τῷ ἀνδρὶ δύο πατέρας ἐπιγράψασθαι; Τοῦτο γὰρ Χαριάδης πεποίηκεν· αὐτός τε γὰρ ἔλαχε ⟨τῶν⟩ τοῦ Σμίκρου Νικοστράτου, τούτοις τε ⟨τῶν⟩ τοῦ Θρασυμάχου λαχοῦσι παρακατέβαλεν ὡς τὸν αὐτὸν ὄντα. 5 Ἔστι μὲν οὖν ἅπαντα ταῦτα ἐπήρεια καὶ παρασκευή. Ἡγοῦνται γὰρ τούτους, ἁπλοῦ μὲν ὄντος τοῦ πράγματος καὶ μηδεμιᾶς αὐτοῖς ‖ ταραχῆς ἐγγιγνομένης, οὐ χαλεπῶς ἐπιδείξειν ὅτι οὐδὲν Νικόστρατος διέθετο· ἐὰν δὲ μὴ τὸν πατέρα τὸν αὐτὸν εἶναι φῶσι, τοῦ δὲ κλήρου μηδὲν ἧττον ἀμφισβητῶσιν, ἀκριβῶς ἴσασιν ὅτι πλείονι λόγῳ εἰπεῖν τουτουσὶ δεήσει ὡς Νικόστρατος Θρασυμάχου ἦν ἢ ὡς οὐδὲν διέθετο. 6 Ἔτι δὲ καὶ ὁμολογοῦντες Θρασυμάχου μὲν εἶναι τὸν Νικόστρατον οὐκ ἂν εἶχον ἐξελέγξαι τούσδε ὡς οὐκ εἰσὶν ἐκείνῳ ἀνεψιοί· ἄλλον δὲ πατέρα τῷ τεθνεῶτι κατα-

3 4 οὐδὲν Steph.: οὐδὲ ‖ 4 4 ἢ add. Reiske ‖ 7 et 8 τῶν add. Hitzig ‖ 8 τε Fuhr: δὲ ‖ 6 1 Θρασυμάχου A^2_1: Θρασιμ-.

ce n'est pas seulement le testament, mais encore la question de parenté que l'on met en discussion.

7 Cette conduite déjà vous ferait connaître que les gens qui manœuvrent ainsi contre mes clients sont quelques individus étrangers à la famille ; mais il y a encore ce qui s'est passé dès le début. Qui ne s'est pas rasé la tête, quand cette somme de deux talents a été apportée d'Aké [1] ? Qui n'a pas porté des vêtements noirs, comme si le deuil devait donner un droit à la succession ? Que de parents, que de fils adoptés par testament ont revendiqué les biens de Nikostratos ? 8 Démosthénès s'est donné pour son neveu ; démasqué par mes clients, il s'est désisté. Selon Téléphos, Nikostratos lui avait légué toute sa fortune ; mais lui aussi, au bout de peu de temps, s'arrêta court. Ameiniadès se présenta devant l'archonte avec un fils de Nikostratos qui n'avait pas encore trois ans, et cela alors que, depuis onze ans, Nikostratos n'avait pas séjourné à Athènes. 9 Pyrrhos de Lamptra prétendit que Nikostratos avait consacré ses biens à Athéna, mais lui en avait donné la jouissance [2]. Ktésias de Bésa et Kranaos assurèrent d'abord que Nikostratos avait été condamné à leur payer un talent ; puis, incapables de le prouver, ils imaginèrent de dire qu'il était leur affranchi [3], mais ne réussirent pas davantage à prouver leurs dires. 10 Tel fut, tout au commencement, le premier assaut contre les biens de Nikostratos ; à ce moment, Chariadès ne réclamait absolument rien ; mais plus tard il se présenta non seulement pour son propre compte, mais encore avec le fils de sa maîtresse qu'il voulait introduire dans la famille [4]. Il arrivait au même résultat, soit qu'il héritât de la fortune, soit qu'il fît reconnaître l'enfant comme citoyen ; mais comprenant lui aussi que, sur la ques-

1. La correction très vraisemblable de Valkenaer donne une date : Aké (Saint-Jean-d'Acre) fut le lieu de rassemblement de l'armée que Pharnabazos conduisit contre l'Égypte en 374 et qui comprenait un contingent grec sous les ordres d'Iphikratès.

2. Le texte n'est pas explicite.

3. A défaut d'enfants, la succession de l'affranchi revient au patron.

4. Sans doute comme fils de Nikostratos.

σκευάζοντες, οὐ μόνον περὶ τῶν διαθηκῶν, ἀλλὰ καὶ περὶ τοῦ γένους λόγον ἐμβεβλήκασιν.

7 Οὐκ ἐκ τούτων δὲ μόνον γνοίητ' ἂν ὅτι ἀλλότριοί τινές εἰσιν οἱ ταῦτα ἐπὶ τουτουσὶ ἐπάγοντες, ἀλλὰ καὶ ἐκ τῶν κατ' ἀρχὰς γεγενημένων. Τίς γὰρ οὐκ ἀπεκείρατο ἐπειδὴ τὰ δύο ταλάντω ἐξ Ἀκῆς ἠλθέτην; Ἢ τίς οὐ μέλαν ἱμάτιον ἐφόρησεν, ὡς διὰ τὸ πένθος κληρονομήσων τῆς οὐσίας; Ἢ πόσοι συγγενεῖς καὶ ὑεῖς κατὰ δόσιν προσεποιήσαντο τῶν Νικοστράτου; 8 Δημοσθένης μέν γε ἀδελφιδοῦς ἔφη αὐτῷ εἶναι, ἐπειδὴ δ' ἐξηλέγχθη ὑπὸ τούτων, ἀπέστη· Τήλεφος δὲ δοῦναι αὐτῷ Νικόστρατον ἅπαντα τὰ ἑαυτοῦ, καὶ οὗτος οὐ πολλῷ ὕστερον ἐπαύσατο. Ἀμεινιάδης δὲ ὑὸν αὐτῷ πρὸς τὸν ἄρχοντα ἦκεν ἄγων οὐδὲ τρί' ἔτη γεγονότα, καὶ ταῦτ' οὐκ ἐπιδεδημηκότος τοῦ Νικοστράτου ἕνδεκα ἐτῶν Ἀθήνησι. 9 Πύρρος δὲ ὁ Λαμπτρεὺς τῇ μὲν Ἀθηνᾷ ἔφη τὰ χρήματα ὑπὸ Νικοστράτου καθιερῶσθαι, αὐτῷ δ' ὑπ' αὐτοῦ ἐκείνου δεδόσθαι. Κτησίας δ' ὁ Βησαιεὺς καὶ Κραναὸς τὸ μὲν πρῶτον δίκην ἔφασαν τοῦ Νικοστράτου ταλάντου καταδεδικάσθαι, ἐπειδὴ δ' οὐκ εἶχον τοῦτο ἀποδεῖξαι, ἀπελεύθερον αὐτὸν ἑαυτῶν προσεποιήσαντο εἶναι· καὶ οὐδ' οὕτως ἃ ἔλεγον ἀπέδειξαν. 10 Καὶ οἱ μὲν εὐθὺς κατὰ τὰ πρῶτα ἐπὶ τὰ Νικοστράτου ᾤξαντες οὗτοί εἰσί· Χαριάδης δὲ τότε μὲν οὐδαμοῦ ἠμφεσβήτησεν, ὕστερον δὲ οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ τὸ ἐκ τῆς ἑταίρας παιδίον εἰσποιῶν ἦλθε. Ταὐτὸ δ' ἦν αὐτῷ ὡς ἢ τῶν χρημάτων κληρονομήσοντι ἢ τὸ παιδίον ἀστὸν ποιήσοντι. Αἰσθόμενος δὲ καὶ οὗτος ὅτι περὶ τοῦ γένους

7 1 ἀλλότριοί τινες Boekmeijer ἀδικοῦντες Hitrig : ἄλλοι τινες || 4 ἐξ Ἀκῆς Valckenaer ἐξ Αἴσης Herwerden ἐξαπίνης Keck : ἐξάκις || ἠλθέτην Herwerden : -τον || 5 ἐφόρησεν Baiter-Sauppe : ἐφόρεσεν || 8 2 ἐξηλέγχθη M, Steph. : -λέγχη || 5 Ἀμεινίαδης Baiter-Sauppe : Ἀμιν- || πρὸς τὸν A^2: πρὸς|πρὸς || 6 τρί' ἔτη Naber : τριετῆ || 9 2 Λαμπτρεὺς Taylor : λαμπρεὺς || 3 ἐκείνου A^2: -νω || 4 Κτησίας Reiske : κτῆσις || 7 οὕτως Blass : οὗτοι || 10 4 ταὐτὸ Sauppe : τοῦτο

tion d'origine, il serait battu, il jeta par-dessus bord la revendication de l'enfant et commença une action pour lui-même, comme héritier institué.

11 Il faudrait, juges, que tout homme qui revendique une succession comme légataire, en cas d'échec, n'en fût pas quitte en perdant les droits consignés d'après la taxe[1], mais qu'il dût payer à l'État une somme égale à la valeur totale des biens dont il cherchait à s'emparer. Ainsi on ne verrait pas les lois méprisées, les droits des parents violentés, et surtout, on ne ferait pas mentir les morts. Mais puisqu'il est loisible à tous de réclamer à leur fantaisie le bien d'autrui, c'est vous qui devez examiner les cas avec toute l'attention dont vous êtes capables et, dans la mesure du possible, ne rien laisser passer. 12 Par exception, dans les affaires de succession, il convient, ce me semble, d'ajouter foi aux probabilités plus qu'aux témoins. En effet, s'il s'agit de contrats quelconques, il n'est pas bien difficile de réfuter le faux témoignage, car il est commis au préjudice d'un contractant vivant et présent. Mais, dans le cas d'un testament, comment reconnaître le mensonge, s'il n'y a pas contradiction palpable, puisqu'on témoigne contre un mort, que les parents ignorent ce qui s'est passé, que la réfutation ne peut jamais être faite en toute rigueur? 13 De plus, juges, la plupart des testateurs ne disent même pas à ceux qui sont présents la teneur de leur dispositions; ils les font venir seulement comme témoins de l'existence d'un testament. Dès lors, il dépend d'un accident qu'il y ait substitution d'acte et modification du testament en un sens contraire aux volontés du défunt. Les témoins ne pourront pas savoir mieux que d'autres si le testament pour lequel ils ont été convoqués est celui-là même qu'on produit. 14 Quand donc il est possible de tromper ceux mêmes qui étaient incontestablement présents, comment vous, qui ne savez rien de l'affaire, n'essaierait-on pas plus encore et plus hardiment de vous égarer?

1. Ces droits montaient au dixième de la valeur de la succession revendiquée ; en cas d'échec, ils étaient perdus, car ils revenaient au gagnant du procès.

ἐλεγχθήσοιτο, τὴν μὲν τοῦ παιδίου ἀμφισβήτησιν παρέλυσεν, ἑαυτῷ δὲ κατὰ δόσιν παρακατέβαλεν.

11 Ἐχρῆν μὲν οὖν, ὦ ἄνδρες, ὅστις κατὰ δόσιν χρημάτων ἀμφισβητῶν ἡττηθείη, μὴ κατὰ τὸ τέλος ζημιοῦσθαι, ἀλλ' ἐφ' ὅσα περ ληψόμενος ᾔει, τοσαῦτα τῇ πόλει ἀποτίνειν· οὕτω γὰρ ⟨ἂν⟩ οὐθ' οἱ νόμοι κατεφρονοῦντο οὔτε τὰ γένη ὑβρίζετο, πρὸ δὲ τούτων οὐδ' ἂν τῶν τεθνεώτων οὐδεὶς κατεψεύδετο. Ἐπειδὴ δὲ ἅπασι καὶ τῶν ἀλλοτρίων ἁπάντων, καθ' ὅ τι ἄν τις βούληται, ἀμφισβητεῖν ἔξεστιν, ὑμᾶς χρὴ περὶ αὐτῶν ὡς οἷόν τε ἀκριβέστατα ἐξετάζειν καὶ μηδὲν εἰς ὅσον δύνασθε παραλείπειν. **12** Ἐν μόναις δὲ ταῖς τῶν κλήρων εἰσαγωγαῖς δοκεῖ μοι προσήκειν τεκμηρίοις μᾶλλον ἢ μάρτυσιν πιστεύειν. Περὶ μὲν γὰρ τῶν ἄλλων συμβολαίων οὐ πάνυ χαλεπὸν τοὺς τὰ ψευδῆ μαρτυροῦντας ἐλέγχειν· ζῶντος γὰρ καὶ παρόντος τοῦ πράξαντος καταμαρτυροῦσι· περὶ δὲ τῶν διαθηκῶν πῶς ἄν τις γνοίη τοὺς μὴ τἀληθῆ λέγοντας, εἰ μὴ πάνυ μεγάλα τὰ διαφέροντα εἴη, αὐτοῦ μὲν καθ' οὗ μαρτυροῦσι τεθνεῶτος, τῶν δὲ συγγενῶν μηδὲν τῶν πεπραγμένων εἰδότων, τοῦ δὲ ἐλέγχου μηδαμῶς ἀκριβοῦς γιγνομένου; **13** Ἔτι δέ, ὦ ἄνδρες, καὶ τῶν διατιθεμένων οἱ πολλοὶ οὐδὲ λέγουσι τοῖς παραγιγνομένοις ὅ τι διατίθενται, ἀλλ' αὐτοῦ μόνου τοῦ καταλιπεῖν διαθήκας μάρτυρας παρίστανται, τοῦ δὲ συμβαίνοντός ἐστι καὶ γραμματεῖον ἀλλαγῆναι καὶ τἀναντία ταῖς τοῦ τεθνεῶτος διαθήκαις μεταγραφῆναι· οὐδὲν γὰρ μᾶλλον οἱ μάρτυρες εἴσονται, εἰ ἐφ' αἷς ἐκλήθησαν διαθήκαις, αὗται ἀποφαίνονται. **14** Ὁπότε δὲ καὶ τοὺς ὁμολογουμένως παραγενομένους οἷόν τ' ἐστιν ἐξαπατῆσαι, πῶς οὐκ ἂν ὑμᾶς γε τοὺς μηδὲν τοῦ πράγματος εἰδότας πολὺ μᾶλλον ⟨καὶ⟩ ἑτοιμότερόν τις παρακρούσασθαι ἐγχειρήσειεν;

7 ἐλεγχθησοιτο A² : ἐλεχθ- || **11** 3 ᾔει (vel ἴοι) Bek. : ἴῃ || 4 ἂν add. Reiske || **12** 10 γιγνομένου A² : γενο- || **13** 2 διατιθεμένων A² : διαθε- || 3 παραγιγνομένοις A² : -γενο- || 8 ἀποφαίνονται Dob. : -νοιντο || **14** 4 καὶ add. Thal. || ἐγχειρήσειεν Scheibe : -ρήσαι.

Mais encore, juges, d'après la loi, il ne suffit pas qu'un homme fasse un testament pour que ce testament soit valable ; il faut encore qu'il ait son bon sens. Vous devez donc examiner d'abord s'il a fait un testament, ensuite s'il n'était pas dément quand il l'a fait. **15** Mais du moment que nous contestons absolument l'existence d'un testament, comment décideriez-vous de l'état d'esprit du testateur avant de vous être fait une conviction sur l'existence même du testament? Lors donc qu'un héritier institué réclame une succession, vous voyez quelle peine il faut pour reconnaître s'il dit vrai ; au contraire les héritiers naturels n'ont en premier lieu à fournir aucun témoin pour établir leurs droits à la succession : tout le monde accorde qu'aux parents les plus proches reviennent les biens du défunt ; **16** ensuite les lois, celles qui règlent les degrés de succession aussi bien que les donations, protègent les parents. La loi en effet n'autorise pas à faire donation de leurs biens ceux que la vieillesse, la maladie ou toute autre cause que vous aussi savez prive de leur raison. Dans la succession par droit naturel, peu importe l'état d'esprit du défunt : c'est le plus proche parent qui hérite sans contestation possible. **17** En outre, s'il s'agit de testament, vous devez vous faire une conviction par le moyen des témoins, auxquels il arrive de vous tromper, sinon il n'existerait pas d'actions en faux témoignage ; mais, pour le degré de parenté, vous vous en fiez à vous-mêmes, car c'est conformément aux lois que les revendications des parents ont liéu, lois établies par vous. **18** Autre chose encore, juges. Si ceux qui se réclament d'un testament se trouvaient être, de l'avis unanime, de bons amis de Nikostratos, même alors il n'y aurait pas preuve rigoureuse, mais pourtant présomption plus forte de l'authenticité du testament. En effet, on a vu déjà des gens, indisposés contre leurs proches, leur préférer des étrangers à la famille, des amis tout à fait intimes ; mais ici Nikostratos et Chariadès n'étaient ni camarades de popote ni compagnons de rang...[1] : sur tous ces points nous vous avons

1. Il y a une lacune dans le texte.

Ἀλλὰ μὴν καὶ ὁ νόμος, ὦ || ἄνδρες, οὐκ ἐάν τις διαθῆται μόνον, κυρίας εἶναι κελεύει τὰς διαθήκας, ἀλλὰ ἐὰν εὖ φρονῶν. Σκεπτέον δὴ ὑμῖν πρῶτον μὲν εἰ ἐποιήσατο τὰς διαθήκας, ἔπειτα εἰ μὴ παρανοῶν διέθετο. 15 Ἀντιλεγόντων δ' ἡμῶν μηδὲ τὸ παράπαν γενέσθαι τὰς διαθήκας, ἐκ τίνος ἂν τρόπου, εἴ τις παρανοῶν διέθετο, γνοίητε, πρὶν περὶ αὐτοῦ τοῦ διαθέσθαι πιστεῦσαι; Τοὺς μὲν οὖν κατὰ τὴν δόσιν ἀμφισβητοῦντας ὁρᾶτε ὅσον ἔργον ἐστὶν αἰσθέσθαι εἰ ἀληθῆ λέγουσι, τοὺς δὲ κατὰ τὸ γένος πρῶτον μὲν οὐδὲν δεῖ μάρτυρας παρασχέσθαι ὡς αὐτῶν ἐστιν ὁ κλῆρος — παρὰ πάντων γὰρ ὡμολόγηται τοῖς ἐγγυτάτω γένους τὰ τοῦ τελευτήσαντος γίγνεσθαι — 16 ἔπειτα οἱ νόμοι οὐ μόνον οἱ περὶ τῶν γενῶν, ἀλλὰ καὶ οἱ περὶ τῶν δόσεων, τοῖς συγγενέσι βοηθοῦσι. Δοῦναι μὲν γὰρ ὁ νόμος οὐδενὶ ἐᾷ τὰ ἑαυτοῦ, ἐὰν ὑπὸ γήρως ἢ ὑπὸ νόσου ἢ ὑπὸ τῶν ἄλλων ἃ καὶ ὑμεῖς ἴστε παρανοήσῃ· κατὰ δὲ τὸ γένος καὶ τὰ τοῦ ὁπωσοῦν διακειμένου ὁ ἐγγύτατα γένους ἀναμφισβητήτως λαμβάνει. 17 Χωρὶς δὲ τούτων ταῖς μὲν διαθήκαις διὰ μαρτύρων ὑμᾶς δεῖ πιστεῦσαι, ὑφ' ὧν ἔνι καὶ ἐξαπατηθῆναι — οὐ γὰρ ἂν ἦσαν ψευδομαρτυρίων ἐπισκήψεις — τῇ δ' ἀγχιστείᾳ δι' ὑμῶν αὐτῶν· κατὰ γὰρ τοὺς νόμους οἱ συγγενεῖς ἀμφισβητοῦσιν, οὓς ὑμεῖς ἔθεσθε. 18 Πρὸς δὲ τούτοις, ὦ ἄνδρες, εἰ μὲν οἱ κατὰ τὰς διαθήκας ἀμφισβητοῦντες ὁμολογουμένως Νικοστράτῳ ἐπιτήδειοι ὄντες ἐτύγχανον, τὸ μὲν ἀκριβὲς οὐδ' ἂν οὕτως, ὅμως μέντοι μᾶλλον εἰκὸς ἦν ἀληθεῖς εἶναι δόξειν τὰς διαθήκας· ἤδη γάρ τινες οὐκ εὖ διακείμενοι τοῖς συγγενέσιν ὀθνείους φίλους τῶν πάνυ σφόδρα προσηκόντων περὶ πλείονος ἐποιήσαντο· νῦν δὲ οὔτε συσσίτους [οὔτε φίλους] οὔτ' ἐν τάξει τῇ αὐτῇ ....τούτων

7 δὴ Reiske : δ' || 16 6 ἀναμφισβητήτως A² : ἀμφισβ- || 17 3 ψευδομαρτυρίων Wyse : -ριῶν || 18 1 εἰ A² : οἱ || 8 οὔτε φίλους secl. Fuhr || lacunam indicat Reiske qui οὐδεὶς οἶδε τούτους πώποτε τῷ Νικοστράτῳ γεγονότας coniecit.

fourni des témoins. 19 Voici le plus grave, ce qui accuse le mieux l'impudence de Chariadès ; jugez-en. Alors qu'à la mort de son père adoptif, il n'a pas relevé son corps [1], ne l'a pas brûlé, n'a pas recueilli ses cendres, mais a laissé ces soins à des étrangers, ne manifeste-t-il pas une impiété extrême, après avoir négligé tous ses devoirs envers le défunt, en réclamant sa succession ? 20 Mais, par Dieu, dira-t-on, s'il n'a rien fait de tout cela, il a du moins administré les biens de Nikostratos [2]. Là-dessus aussi on vous a fait entendre des témoins, et lui-même, dans l'ensemble, ne conteste rien. Pour expliquer chacun de ses actes, il a trouvé naturellement des excuses de fortune ; en effet quelle autre ressource a-t-il, puisqu'il avoue expressément ?

21 Vous savez maintenant bien clairement, juges, que nos adversaires ne sont pas dans leur droit en convoitant la fortune de Nikostratos, mais qu'ils veulent vous tromper ; et, alors que mes clients sont parents du défunt, que la loi leur attribue ses biens, ils veulent les en dépouiller. Le cas de Chariadès n'est pas isolé ; bien d'autres déjà, sachant que des Athéniens étaient morts à l'étranger, parfois sans même les connaître, ont réclamé leurs biens. 22 Ils calculent en effet qu'en cas de réussite, ils possèderont le bien d'autrui ; s'ils échouent, le risque est infime. Il existe des faux témoins de bonne volonté ; la réfutation se heurte à l'inconnu. En un mot, il est bien différent de revendiquer une succession comme héritier naturel ou comme héritier institué. Mais vous, juges, vous devez en premier lieu examiner si le défunt a réellement testé ; c'est ce que veut la loi et ce qui est le plus juste. 23 Si vous ne reconnaissez pas clairement la vérité, si vous voyez que les témoins ne sont pas des amis du défunt, mais de Chariadès, qui veut s'emparer du bien d'autrui,

1. Le verbe employé par Isée s'applique souvent au corps d'un soldat relevé sur le champ de bataille. Le § 7 n'implique pas nécessairement que Nikostratos soit mort à Aké même.

2. A la fin du § 26, il est encore question d'une association qui aurait existé entre Chariadès et Nikostratos et dont la nature nous échappe complètement,

δ' ὑμῖν μάρτυρας ἁπάντων παρεσχήμεθα. 19 Ὁ δὲ μέγιστον, καὶ μάλιστα τῆς Χαριάδου ἀναιδείας καταμαρτυρεῖ, τοῦτο σκέψασθε. Ὅπου γὰρ τὸν αὐτὸν ποιησάμενον οὔτ' ἀποθανόντα ἀνείλετο οὔτ' ἔκαυσεν οὔτε ὠστολόγησεν, ἀλλὰ πάντα τοῖς μηδὲν προσήκουσι παρῆκε ποιῆσαι, πῶς οὐκ ⟨ἂν⟩ ἀνοσιώτατος εἴη, ὃς τῷ τεθνεῶτι μηδὲν τῶν νομιζομένων ποιήσας τῶν χρημάτων αὐτοῦ κληρονομεῖν ἀξιοῖ; 20 Ἀλλὰ νὴ Δία ἐπειδὴ τούτων οὐδὲν ἐποίησε, τὴν οὐσίαν τοῦ Νικοστράτου διεχείρισεν. Ἀλλὰ καὶ ταῦτα μεμαρτύρηται ὑμῖν, καὶ τὰ πλεῖστα οὐδ' αὐτὸς ἀρνεῖται· προφάσεις δὲ οἶομαι ἀναγκαίας ἐφ' ἑκάστας τῶν πράξεων ηὑρῆσθαι· τί γὰρ ὑπολείπεται τῷ διαρρήδην ὁμολογοῦντι;

21 Σαφῶς μὲν οὖν ἴστε, ὦ ἄνδρες, ὅτι οὗτοι οὐ δικαίως τῶν Νικοστράτου ἐφίενται, ἀλλὰ βούλονται μὲν ὑμᾶς ἐξαπατῆσαι, τουτουσὶ δὲ συγγενεῖς ὄντας ἐκείνου, ἃ οἱ νόμοι ἔδοσαν αὐτοῖς, ἀποστερῆσαι. Οὐ μόνος δὲ Χαριάδης τοῦτο πεποίηκεν, ἀλλὰ καὶ ἄλλοι πολλοὶ ἤδη τῶν ἐν τῇ ὑπερορίᾳ ἀποθνῃσκόντων οὐδὲ γιγνώσκοντες ἐνίους τῆς οὐσίας ἠμφεσβήτησαν· 22 ἐνθυμοῦνται γὰρ ὅτι κατορθώσασι μὲν ⟨ἔσται⟩ τὰ ἀλλότρια ἔχειν, διαμαρτοῦσι δὲ μικρὸς ὁ κίνδυνος· μαρτυρεῖν δὲ καὶ τὰ ψευδῆ τινες ἐθέλουσιν, οἱ δ' ἔλεγχοι περὶ ἀφανῶν. Συνελόντι πολὺ τὸ διαφέρον κατὰ γένος ἢ κατὰ δόσιν ἀμφισβητεῖν. Ἀλλ' ὑμᾶς χρή, ὦ ἄνδρες, πρῶτον μὲν τὰς διαθήκας σκοπεῖν, εἰ δοκοῦσι γενέσθαι· τοῦτο γὰρ οἵ τε νόμοι ὑφηγοῦνται καὶ δικαιότατόν ἐστι. 23 Μὴ σαφῶς δὲ μήτ' αὐτοὺς τὴν ἀλήθειαν εἰδότας, μήτε τῶν μαρτύρων τοῦ τελευτήσαντος ἐπιτηδείων ὄντων, ἀλλὰ Χαριάδου τοῦ

19 6 ἂν add. Bek. || **20** 2 Νικοστράτου Schedae Etonianae : στρατονίκου || post διεχείρισεν interrogationis signum del. Thal. Wyse || **21** 2 Νικοστράτου Schedae Etonianae : στρατονίκου || 4 μόνος Papabasileiou : μόνον || **22** 2 ἔσται add. Scheibe || 8 ὑφηγοῦνται Schoem. : ἡγοῦνται.

quoi de plus juste que d'accorder aux parents la fortune d'un parent? S'il était en effet arrivé malheur à mes clients, Nikostratos — et nul autre — eût hérité d'eux ; c'est au même titre qu'il aurait revendiqué la succession, étant leur cousin germain, fils d'un frère consanguin de leur père [1]. **24** Mais par Dieu, j'oubliais ! Hagnon et Hagnothéos ne sont point parents de Nikostratos, disent nos adversaires ; il a de tout autres parents. Et alors, ces parents apportent leur témoignage en faveur du légataire sans revendiquer eux-mêmes la succession en raison de leur parenté ! Pourtant ils ne sont pas assez stupides pour ajouter foi si facilement à un testament et renoncer à une telle fortune. En vérité, il ressort de leurs propres paroles que, dans l'intérêt même des parents, l'héritage doit être adjugé à mes clients de préférence à Chariadès [2]. **25** Postérieurement en effet, à supposer que mes clients, dont la revendication se fonde sur la parenté, recueillent la succession, les autres à leur tour pourront, quand ils le voudront, demander l'envoi en possession à titre de parents et vous démontrer qu'ils étaient plus proches parents de Nikostratos et que Nikostratos était fils de Smikros et non de Thrasymachos. Mais si Chariadès hérite, nul parent ne pourra entrer en lice pour les biens de Nikostratos. Quand l'adjudication a été faite en vertu d'un testament, que peut-on raisonnablement alléguer pour intenter une action en qualité de successible?

26 Voyez ce que chacun de vous demanderait en tel cas, et assurez-le à mes jeunes amis. Ils vous ont produit des témoins attestant d'abord qu'eux et Nikostratos sont cousins germains, fils de frères consanguins, puis, qu'ils n'ont jamais été brouillés avec lui, de plus, qu'ils ont mis ses restes au tombeau [3], en outre, que Chariadès ici présent n'a jamais eu de relations avec Nikostratos ni ici ni à l'armée, enfin, que l'association dont il se fait fort avant tout est un mensonge.

1. Même argumentation dans le discours I, 44 et suiv.
2. On admire l'inanité de semblables considérations.
3. Suivant l'usage, l'urne contenant les cendres de Nikostratos avait été rapportée dans la terre natale.

τἀλλότρια βουλομένου λαβεῖν, τί ἂν εἴη δικαιότερον ἢ τοῖς συγγενέσι τὰ τοῦ συγγενοῦς ψηφίζεσθαι; Καὶ γὰρ εἰ οἵδε τι ἔπαθον, οὐδενὶ ἂν ἄλλῳ ἢ Νικοστράτῳ τὰ τούτων ἐγένετο· κατὰ γὰρ τὸ αὐτὸ γένος ἂν ἠμφεσβήτει, ἀνεψιὸς ὢν αὐτοῖς ἐκ πατραδέλφων. 24 Μὰ Δί' ἀλλ' οὐκ ἔστιν ὁ Ἄγνων οὐδ' ὁ Ἀγνόθεος τοῦ Νικοστράτου συγγενής, ὡς οἱ ἀντίδικοί φασιν, ἀλλ' ἕτεροι. Ἔπειτα τῷ μὲν κατὰ τὴν δόσιν τοῦ κλήρου λαχόντι μαρτυροῦσιν, αὐτοὶ δὲ κατὰ τὸ γένος οὐκ ἀμφισβητήσουσιν; || Οὐ γὰρ εἰς τοῦτό γε ἀνοίας ἥκουσιν ὥστε πιστεύσαντες ταῖς διαθήκαις οὕτως ῥᾳδίως τοσούτων χρημάτων ἀφίστανται. Ἀλλὰ μὴν καὶ ἐξ ὧν αὐτοὶ οὗτοι λέγουσι, τούσδε τοῖς συγγενέσιν αὐτοῖς ἐπιδικάσασθαι συμφέρει τῶν Νικοστράτου μᾶλλον ἢ Χαριάδην. 25 Εἰς γὰρ τὸν λοιπὸν χρόνον, εἰ μὲν οἵδε κατὰ τὸ γένος ἀμφισβητοῦντες λήψονται τὸν κλῆρον, ἐξέσται καὶ τούτοις, ὁπόταν βούλωνται, κατὰ τὸ γένος λαχοῦσιν ἐπιδεῖξαι ὑμῖν ὡς αὐτοὶ ἐγγυτέρω ἦσαν τοῦ Νικοστράτου, καὶ ὡς Σμίκρου ἦν καὶ οὐ Θρασυμάχου· ἐὰν δὲ Χαριάδης αὐτῶν κληρονομήσῃ, οὐκ ἔσται οὐδενὶ συγγενεῖ ἐπὶ τὰ Νικοστράτου ἐλθεῖν· κατὰ δόσιν γὰρ ἔχοντος τοῦ ἐπιδεδικασμένου, τί φανοῦνται λέγοντες οἱ κατὰ [τὸ] γένος λαγχάνοντες;

26 Ὅπερ ἂν οὖν καὶ ὑμῶν ἕκαστος ἀξιώσειε, τοῦτο καὶ τουτοισὶ τοῖς νεανίσκοις βεβαιώσατε. Παρέσχοντο δ' ὑμῖν μάρτυρας πρῶτον μὲν ὡς ἀνεψιοί εἰσιν ἐκ πατραδέλφων Νικοστράτου, ἔπειτα δὲ ὡς οὐδεπώποτε ἐκείνῳ διάφοροι ἦσαν, ἔτι δὲ καὶ ὡς ἔθαψαν Νικόστρατον, πρὸς δὲ τούτοις ὡς Χαριάδης οὑτοσὶ οὐδαμῶς οὔτ' ἐνθάδε οὔτ' ἐπὶ στρατεύματι ἐχρῆτο Νικοστράτῳ, ἔτι δὲ καὶ τὴν κοινωνίαν, ᾗ μάλισθ' οὗτος ἰσχυρίζεται, ψευδῆ οὖσαν.

23 4 ἂν εἴη Reiske: ἂν τι || 6-7 ἐγένετο M Bek.: -νοντο || **24** 2 συγγενης Steph.: -νεῖς || **25** 9 τὸ secl. Fuhr: add. A^1 || **26** 4 ἐκείνῳ Ald.: ἐκεῖνοι || 6 οὔτ' ἐνθάδε Bek.: οὐδ' ἐνθ-.

17 Οὗτοι μὲν τοίνυν τοιοῦτο πρᾶγμα ἔφυγον· ἐγὼ δ' ὑμῖν ἐπιδείξω καὶ ὅθεν εἰσὶ καὶ οἵτινες οὓς γνησίους διεμαρτύρησαν εἶναι καὶ κληρονόμους ζητοῦσι καταστῆσαι τῶν Εὐκτήμονος. Ἴσως μέν ἐστιν ἀηδὲς Φανοστράτῳ, ὦ ἄνδρες, τὰς Εὐκτήμονος συμφορὰς φανερὰς καθεστάναι· ὀλίγα δ' ἀναγκαῖον ῥηθῆναι, ἵν' ὑμεῖς τὴν ἀλήθειαν εἰδότες ῥᾷον τὰ δίκαια ψηφίσησθε. 18 Εὐκτήμων μὲν γὰρ ἐβίω ἔτη ἓξ καὶ ἐνενήκοντα, τούτου δὲ τοῦ χρόνου τὸν μὲν πλεῖστον ἐδόκει εὐδαίμων εἶναι — καὶ γὰρ οὐσία ἦν οὐκ ὀλίγη αὐτῷ καὶ παῖδες καὶ γυνή, καὶ τἆλλ' ἐπιεικῶς ηὐτύχει — ἐπὶ γήρως δὲ αὐτῷ συμφορὰ ἐγένετο οὐ μικρά, ἣ ἐκείνου πᾶσαν τὴν οἰκίαν ἐλυμήνατο καὶ χρήματα πολλὰ διώλεσε καὶ αὐτὸν τοῖς οἰκειοτάτοις εἰς διαφορὰν κατέστησεν. 19 Ὅθεν δὲ καὶ ὅπως ταῦτ' ἐγένετο, ὡς ἂν δύνωμαι διὰ βραχυτάτων δηλώσω. Ἀπελευθέρα ἦν αὐτοῦ, ὦ ἄνδρες, ἣ ἐναυκλήρει συνοικίαν ἐν Πειραιεῖ αὐτοῦ καὶ παιδίσκας ἔτρεφε. Τούτων μίαν ἐκτήσατο ᾗ ὄνομα ἦν Ἀλκή, ἣν καὶ ὑμῶν οἶμαι πολλοὺς εἰδέναι. Αὕτη δὲ ἡ Ἀλκὴ ὠνηθεῖσα πολλὰ μὲν ἔτη καθῆστο ἐν οἰκήματι, ἤδη δὲ πρεσβυτέρα οὖσα ἀπὸ μὲν τοῦ οἰκήματος ἀνίσταται, 20 διαιτωμένῃ δὲ αὐτῇ ἐν τῇ συνοικίᾳ συνῆν ἄνθρωπος ἀπελεύθερος — Δίων ὄνομα αὐτῷ — ἐξ οὗ ἔφη ἐκείνη τούτους γεγονέναι· καὶ ἔθρεψεν αὐτοὺς ὁ Δίων ὡς ὄντας ἑαυτοῦ. Χρόνῳ δὲ ὕστερον ὁ μὲν Δίων ζημίαν εἰργασμένος καὶ δείσας ὑπὲρ αὐτοῦ ὑπεχώρησεν εἰς Σικυῶνα· τὴν δ' ἄνθρωπον ταύτην, τὴν Ἀλκήν, καθίστησιν Εὐκτήμων ἐπιμελεῖσθαι τῆς ἐν Κεραμεικῷ συνοικίας, τῆς παρὰ τὴν πυλίδα, οὗ ὁ οἶνος

10 μαρτυρίαι, προκλήσεις Reiske : –ρία, –σις || 17 2 οὓς Naber : αὐτοὺς || 5 καθεστάναι A : καθιστᾶναι A² Fuhr || 18 4 τἆλλ' A² : τἀλ'.

21 Son installation en ce lieu fut l'origine de mille maux, juges. Euktémon y allait à chaque terme, il passait le plus clair de son temps dans cette maison, souvent même il y mangeait avec cette fille, abandonnant femme, enfants et son domicile. Le chagrin de sa femme et de ses fils ne le fit pas changer de conduite ; mais finalement il vécut complètement là-bas, et il tomba dans un tel état, par l'effet de drogues, d'une maladie ou de toute autre cause, qu'il se laissa persuader par cette fille de présenter dans sa phratrie l'aîné des deux enfants qu'elle avait, sous son propre nom. 22 Mais son fils Philoktémon ne s'y prêta point ; les membres de la phratrie s'y refusèrent et la victime du sacrifice d'admission fut enlevée[1]. Alors Euktémon, furieux contre son fils et désireux de lui jouer un vilain tour, annonce son mariage avec la sœur de Démokratès d'Aphidna et déclare qu'il reconnaîtra les enfants qui naîtraient de cette femme et les introduira dans sa maison, à moins que Philoktémon ne convienne de lui laisser toute liberté pour y faire entrer celui qu'il voulait. 23 Les proches savaient bien qu'il n'était plus capable à son âge d'avoir des enfants, mais qu'on en pouvait supposer par quelque artifice, et que de là naîtraient des différends encore pires ; aussi conseillèrent-ils à Philoktémon, juges, de laisser Euktémon libre d'adopter cet enfant aux conditions qu'il exigeait, en lui donnant un morceau de terre. 24 Et Philoktémon, tout honteux de la folie de son père, mais fort embarrassé de remédier au présent malheur, renonça à son opposition. Le pacte conclu, l'enfant introduit dans la famille selon ces termes, Euktémon rompit son engagement matrimonial, et prouva ainsi qu'il n'avait pas voulu se marier pour avoir des enfants, mais pour introduire ce fils dans la famille. 25 En effet, quel besoin avait-il donc de se marier, dis-moi, Androklès, si vraiment ces enfants étaient nés de son mariage avec une citoyenne, comme tu l'as attesté ? S'ils étaient légitimes, qui pouvait l'empêcher de les introduire dans la famille ? Pourquoi les a-t-il introduits sous conditions,

1. Peut-être Philoktémon a-t-il lui-même enlevé la victime de l'autel pour marquer son opposition.

ᾧνιος. 21 Κατοικισθεῖσα δ' ἐνταυθοῖ πολλῶν καὶ κακῶν ἦρξεν, ὦ ἄνδρες. Φοιτῶν γὰρ ὁ Εὐκτήμων ἐπὶ τὸ ἐνοίκιον ἑκάστοτε, τὰ πολλὰ διέτριβεν ἐν τῇ συνοικίᾳ, ἐνίοτε δὲ καὶ ἐσιτεῖτο μετὰ τῆς ἀνθρώπου, καταλιπὼν καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας καὶ τὴν οἰκίαν ἣν ᾤκει. Χαλεπῶς δὲ φερούσης τῆς γυναικὸς καὶ τῶν υἱέων οὐχ ὅπως ἐπαύσατο, ἀλλὰ τελευτῶν παντελῶς διητᾶτο ἐκεῖ καὶ οὕτω διετέθη εἴθ' ὑπὸ φαρμάκων εἴθ' ὑπὸ νόσου εἴθ' ὑπ' ἄλλου τινός, ὥστε ἐπείσθη ὑπ' αὐτῆς τὸν πρεσβύτερον τοῖν παίδοιν εἰσαγαγεῖν εἰς τοὺς φράτερας ἐπὶ τῷ αὐτοῦ ὀνόματι. 22 Ἐπειδὴ δὲ οὔθ' ὁ υἱὸς αὐτῷ Φιλοκτήμων συνεχώρει οὔθ' οἱ φράτερες εἰσεδέξαντο, ἀλλ' ἀπηνέχθη τὸ κούρειον, ὀργιζόμενος ὁ Εὐκτήμων τῷ υἱεῖ καὶ ἐπηρεάζειν βουλόμενος ἐγγυᾶται γυναῖκα Δημοκράτους τοῦ Ἀφιδναίου ἀδελφήν, ὡς ἐκ ταύτης παῖδας ἀποφανῶν καὶ εἰσποιήσων εἰς τὸν οἶκον, εἰ μὴ συγχωροίη τοῦτον ἐᾶν εἰσαχθῆναι. 23 Εἰδότες δ' οἱ ἀναγκαῖοι ὅτι ἐξ ἐκείνου μὲν οὐκ ἂν ἔτι γένοιντο παῖδες ταύτην τὴν ἡλικίαν ἔχοντος, φανήσοιντο δ' ἄλλῳ τινὶ τρόπῳ, καὶ ἐκ τούτων ἔσοιντο ἔτι μείζους διαφοραί, ἔπειθον, ὦ ἄνδρες, τὸν Φιλοκτήμονα ἐᾶσαι εἰσαγαγεῖν τοῦτον τὸν παῖδα ἐφ' οἷς ἐζήτει ὁ Εὐκτήμων, χωρίον ἓν δόντα. 24 Καὶ ὁ Φιλοκτήμων, αἰσχυνόμενος μὲν ἐπὶ τῇ τοῦ πατρὸς ἀνοίᾳ, ἀπορῶν δ' ὅ τι χρήσαιτο τῷ παρόντι κακῷ, οὐκ ἀντέλεγεν οὐδέν. Ὁμολογηθέντων δὲ τούτων καὶ εἰσαχθέντος τοῦ παιδὸς ἐπὶ τούτοις, ἀπηλλάγη τῆς γυναικὸς ὁ Εὐκτήμων καὶ ἐπεδείξατο ὅτι οὐ παίδων ἕνεκα ἐγάμει, ἀλλ' ἵνα τοῦτον εἰσαγάγοι. 25 Τί γὰρ ἔδει αὐτὸν γαμεῖν, ὦ Ἀνδρόκλεις, εἴ περ οἵδε ἦσαν ἐξ αὐτοῦ καὶ γυναικὸς ἀστῆς, ὡς σὺ μεμαρτύρηκας; Τίς γὰρ ἂν γνησίους ὄντας οἷός τε ἦν κωλῦσαι εἰσαγαγεῖν; Ἢ διὰ τί ἐπὶ ῥητοῖς αὐτὸν εἰσήγαγε, τοῦ νόμου κελεύοντος

22 1 ὁ υἱὸς Bek.: οὗτος || 3 κούρειον Reiske: κούριον || 5 ἀφνιδαίου A || 6 ἐᾶν secl. Reiske || 25 2 αὐτοῦ Bekker: ἀστοῦ.

alors qu'aux termes de la loi tous les enfants légitimes ont part égale au patrimoine? **26** Pourquoi a-t-il introduit l'aîné des deux enfants sous conditions, et, alors que le plus jeune était déjà né, n'en a-t-il jamais fait mention, du vivant de Philoktémon, ni à Philoktémon ni à ses proches? Et maintenant, on nous atteste explicitement qu'ils sont les enfants légitimes et les héritiers des biens d'Euktémon. Pour preuve de la vérité de mes assertions, lis les témoignages.

Témoignages

27 Après cela, Philoktémon, qui était triérarque, périt à l'ennemi dans les parages de Chios[1]. Quelque temps après, Euktémon informa ses gendres qu'il voulait mettre par écrit la transaction passée avec son fils. Phanostratos allait partir comme triérarque avec Timothéos[2] et son navire devait appareiller à Munichie[3]; son beau-frère Chairéas, qui lui faisait la conduite, était présent. Euktémon, s'étant fait accompagner de quelques personnes, vint à l'endroit de l'appareillage et, après avoir rédigé, sous forme de testament, les conditions de l'adoption[4], il déposa l'acte avec eux chez Pythodoros de Képhisia, son parent. **28** La preuve, juges, qu'Euktémon n'en usait pas comme avec des enfants légitimes — qualité qu'Androklès a attestée — est suffisamment fournie par ce fait. Jamais personne en effet ne fait par testament une donation à ses fils légitimes, puisque la loi attribue au fils les biens du père et ne permet même pas de tester quand on a des enfants légitimes.

29 L'acte avait été déposé depuis près de deux ans déjà, et Chairéas était mort quand ces individus, tombés sous la coupe de la créature, voyant que la maison allait à sa ruine et que la vieillesse et l'imbécillité d'Euktémon leur étaient singulièrement opportunes, dressent leur plan d'attaque. **30** Tout

1. Voir la notice, p. 107.
2. Général athénien ; l'expédition date de 375 ou 373.
3. Un des ports d'Athènes.
4. La teneur de l'acte ainsi rédigé nous demeure obscure.

ἅπαντας τ ὺς γνησίους ἰσομοίρους εἶναι τῶν πατρῴων ;
26 Ἢ διὰ τί τὸν μὲν πρεσβύτερον τοῖν παίδοιν ἐπὶ ῥητοῖς εἰσήγαγε, τοῦ δὲ νεωτέρου ἤδη γεγονότος οὐδὲ λόγον ἐποιεῖτο ζῶντος || Φιλοκτήμονος οὔτε πρὸς αὐτὸν ἐκεῖνον οὔτε πρὸς τοὺς οἰκείους ; Οὓς σὺ νῦν διαρρήδην μεμαρτύρηκας γνησίους εἶναι καὶ κληρονόμους τῶν Εὐκτήμονος. Ταῦτα τοίνυν ὡς ἀληθῆ λέγω, ἀναγίγνωσκε τὰς μαρτυρίας.

Μαρτυρίαι

27 Μετὰ ταῦτα τοίνυν ὁ Φιλοκτήμων τριηραρχῶν περὶ Χίον ἀποθνῄσκει ὑπὸ τῶν πολεμίων· ὁ δ᾽ Εὐκτήμων ὕστερον χρόνῳ πρὸς τοὺς κηδεστὰς εἶπεν ὅτι βούλοιτο τὰ πρὸς τὸν ὑὸν οἱ πεπραγμένα γράψας καταθέσθαι. Καὶ ὁ μὲν Φανόστρατος ἐκπλεῖν ἔμελλε τριηραρχῶν μετὰ Τιμοθέου καὶ ἡ ναῦς αὐτῷ ἐξώρμει Μουνιχίασι καὶ ὁ κηδεστὴς Χαιρέας παρὼν συναπέστελλεν αὐτόν· ὁ δ᾽ Εὐκτήμων παραλαβών τινας ἧκεν οὗ ἐξώρμει ἡ ναῦς, καὶ γράψας διαθήκην, ἐφ᾽ οἷς εἰσήγαγε τὸν παῖδα, κατατίθεται μετὰ τούτων παρὰ Πυθοδώρῳ Κηφισιεῖ, προσήκοντι αὐτῷ. 28 Καὶ ὅτι μέν, ὦ ἄνδρες, οὐχ ὡς περὶ γνησίων ἔπραττεν Εὐκτήμων, ὃ Ἀνδροκλῆς μεμαρτύρηκε, καὶ αὐτὸ τοῦτο ἱκανὸν τεκμήριον· τοῖς γὰρ φύσει υἑσιν αὐτοῦ οὐδεὶς οὐδενὶ ἐν διαθήκῃ γράφει δόσιν οὐδεμίαν, διότι ὁ νόμος αὐτὸς ἀποδίδωσι τῷ υἱεῖ τὰ τοῦ πατρὸς καὶ οὐδὲ διαθέσθαι ἐᾷ ὅτῳ ἂν ὦσι παῖδες γνήσιοι.

29 Κειμένου δὲ τοῦ γραμματείου σχεδὸν δύ᾽ ἔτη καὶ τοῦ Χαιρέου τετελευτηκότος, ὑποπεπτωκότες οἵδε τῇ ἀνθρώπῳ καὶ ὁρῶντες ἀπολλύμενον τὸν οἶκον καὶ τὸ γῆρας καὶ τὴν ἄνοιαν τοῦ Εὐκτήμονος, ὅτι εἴη αὐτοῖς ἱκανὴ ἀφορμή, συνεπιτίθενται. 30 Καὶ πρῶτον μὲν πείθουσι τὸν Εὐ-

27 6 μουνυχιάϊ A || 28 2 ὃ Bek. : ὁ.

d'abord, ils persuadent à Euktémon d'annuler ses dispositions comme désavantageuses aux enfants; car la fortune apparente, à la mort d'Euktémon, reviendra exclusivement à ses filles et à leurs enfants; mais, s'il réalise une partie de ses biens et laisse de l'argent liquide, ils le conserveront à coup sûr. 31 Euktémon, docile, réclama sur-le-champ l'acte à Pythodoros, et l'assigna pour en obtenir la production[1]. Quand l'autre eut produit la pièce devant l'archonte, Euktémon déclara sa volonté d'annuler ses dispositions. 32 Pythodoros était prêt, d'accord avec lui et avec Phanostratos qui était présent, à les supprimer; mais comme Chairéas, l'un des intéressés, avait laissé une fille unique, il jugeait bon de ne détruire l'acte qu'en présence du représentant légal de la jeune fille, et l'archonte fut du même avis. Alors, à la suite d'un arrangement conclu devant l'archonte et ses assesseurs, Euktémon constitua un grand nombre de témoins, déclara qu'il n'existait plus d'acte déposé par lui, et s'en alla. 33 En très peu de temps, on vit pourquoi ces gens lui avaient conseillé l'annulation : ils vendent un domaine, sis à Athmonon, pour soixante-quinze mines à Antiphanès, l'établissement de bains de Sérangion[2] pour trois mille drachmes à Aristolochos; Euktémon réalise une hypothèque de quarante-quatre mines qu'il avait sur une maison de la ville et dont il obtint du hiérophante[3] le remboursement. En outre il vend des chèvres et le chevrier, pour treize mines, deux attelages de mulets, l'un de huit mines, l'autre de cinq cent cinquante drachmes, et tous les ouvriers esclaves qu'il possédait. 34 Le tout, qui se montait à plus de trois talents, fut vendu par des voies rapides après la mort de Philoktémon. Pour prouver que je dis vrai, sur chacune de mes allégations, je vais vous citer d'abord les témoins.

⟨Témoins⟩

35 Voilà comment l'affaire fut menée, mais ce fut bien-

1. Sur cette action, cf. le fragment I.
2. Les débris en subsistent près du port de Zéa.
3. Le principal officiant aux mystères d'Éleusis.

κτήμονα τὴν μὲν διαθήκην ἀνελεῖν ὡς οὐ χρησίμην οὖσαν τοῖς παισί· τῆς γὰρ φανερᾶς οὐσίας οὐδένα κύριον ἔσεσθαι τελευτήσαντος Εὐκτήμονος ἄλλον ἢ τὰς θυγατέρας καὶ τοὺς ἐκ τούτων γεγονότας· εἰ δὲ ἀποδόμενός τι τῶν ὄντων ἀργύριον καταλίποι, τοῦτο βεβαίως ἕξειν αὐτούς. 31 Ἀκούσας δ' ὁ Εὐκτήμων εὐθὺς ἀπῄτει τὸν Πυθόδωρον τὸ γραμματεῖον καὶ προσεκαλέσατο εἰς ἐμφανῶν κατάστασιν. Καταστήσαντος δὲ ἐκείνου πρὸς τὸν ἄρχοντα, ἔλεγεν ὅτι βούλοιτ' ἀνελέσθαι τὴν διαθήκην. 32 Ἐπειδὴ δ' ὁ Πυθόδωρος ἐκείνῳ μὲν καὶ τῷ Φανοστράτῳ παρόντι ὡμολόγει ἀναιρεῖν, τοῦ δὲ Χαιρέου τοῦ συγκαταθεμένου θυγάτηρ ἦν μία, ἧς ἐπειδὴ κύριος κατασταίη, τότε ἠξίου ἀνελεῖν, καὶ ὁ ἄρχων οὕτως ἐγίγνωσκε, διομολογησάμενος ὁ Εὐκτήμων ἐναντίον τοῦ ἄρχοντος καὶ τῶν παρέδρων καὶ ποιησάμενος πολλοὺς μάρτυρας ὡς οὐκέτ' αὐτῷ κέοιτο ἡ διαθήκη, ᾤχετο ἀπιών. 33 Καὶ ἐν πάνυ ὀλίγῳ χρόνῳ, οὗπερ ἕνεκα οὗτοι λῦσαι αὐτὸν ἔπεισαν, ἀποδίδονται ἀγρὸν μὲν Ἀθμονοῖ πέντε καὶ ἑβδομήκοντα μνῶν Ἀντιφάνει, τὸ δ' ἐν Σηραγγίῳ βαλανεῖον τρισχιλίων Ἀριστολόχῳ· οἰκίαν δὲ ἐν ἄστει τεττάρων καὶ τετταράκοντα μνῶν ὑποκειμένην ἀπέλυσε τῷ ἱεροφάντῃ. Ἔτι δὲ αἶγας ἀπέδοτο σὺν τῷ αἰπόλῳ τριῶν καὶ δέκα μνῶν, καὶ ζεύγη δύο ὁρικά, τὸ μὲν ὀκτὼ μνῶν, τὸ δὲ πεντήκοντα καὶ πεντακοσίων δραχμῶν, καὶ δημιουργοὺς ὅσοι ἦσαν αὐτῷ. 34 Σύμπαντα δὲ πλείονος ἢ τριῶν ταλάντων, ἃ ἐπράθη διὰ ταχέων πάνυ τελευτήσαντος Φιλοκτήμονος. Καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, καθ' ἕκαστον ὑμῖν τῶν εἰρημένων πρῶτον καλῶ τοὺς μάρτυρας.

⟨Μάρτυρες⟩

35 Ταῦτα μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε· περὶ δὲ τῶν

31 2 post προσεκαλέσατο verba πρὸς τὸν ἄρχοντα expuncta habet A || 3 καταστήσαντος Bek. : καταστάντος || 34 5 μάρτυρες add. Reiske.

tôt au reste de la fortune qu'ils s'attaquèrent, et ils machinèrent la plus redoutable intrigue, qui mérite toute votre attention[1]. Comme ils voyaient qu'Euktémon, trop vieux, n'en pouvait plus, et était même incapable de quitter son lit, ils avisèrent comment, encore après sa mort, ses biens seraient sous leur contrôle. 36 Et que font-ils ? Ils font inscrire par devant l'archonte ces deux enfants comme enfants adoptifs des fils d'Euktémon prédécédés ; ils s'inscrivent eux-mêmes comme tuteurs, et ils requièrent l'archonte de mettre en location les biens, soi-disant appartenant à des orphelins ; ainsi, au nom des enfants, une partie de la propriété serait louée ; l'autre partie serait constituée en garantie et des bornes hypothécaires y seraient placées du vivant même d'Euktémon ; eux-mêmes se rendraient locataires et toucheraient les revenus. 37 Au premier jour où les tribunaux se réunirent, l'archonte fit publier l'adjudication ; eux se portaient comme locataires. Mais quelques personnes qui étaient présentes dénoncèrent aux proches la manœuvre ; ils accoururent, révélèrent l'affaire aux juges ; et alors, par un vote à mains levées, les juges décidèrent qu'il ne serait pas procédé à l'adjudication. Si l'on n'avait pas été informé, c'est la fortune tout entière qui y passait. Appelle-moi les témoins qui étaient présents.

Témoins

38 Avant que ces individus eussent lié connaissance avec la créature et, de concert avec elle, se fussent attaqués à Euktémon, la fortune qu'Euktémon possédait en commun avec son fils Philoktémon était telle que l'un et l'autre pouvaient à la fois s'acquitter envers vous des plus lourdes liturgies[2], ne rien aliéner de leur capital et mettre de côté une partie de leurs revenus, en sorte qu'ils s'enrichissaient sans cesse. Mais, après la mort de Philoktémon, on disposa si bien de la fortune qu'il ne reste même plus la moitié du capital et que

1. Voir la notice, p. 104.
2. La situation du fils par rapport au père n'est pas définie.

ὑπολοίπων εὐθὺς ἐπεβούλευον καὶ πάντων δεινότατον πρᾶγμα κατεσκεύασαν, ᾧ ἄξιόν ἐστι προσέχειν τὸν νοῦν. Ὁρῶντες γὰρ τὸν Εὐκτήμονα κομιδῇ ἀπειρηκότα ὑπὸ γήρως καὶ οὐδ' ⟨ἐκ⟩ τῆς κλίνης ἀνίστασθαι δυνάμενον, ἐσκόπουν ὅπως καὶ τελευτήσαντος ἐκείνου δι' αὐτῶν ἔσοιτο ἡ οὐσία. 36 Καὶ τί ποιοῦσιν ; Ἀπογράφουσι τὰ παῖδε τούτω πρὸς τὸν ἄρχοντα ὡς εἰσποιήτω τοῖς τοῦ Εὐκτήμονος ὑέσι τοῖς τετελευτηκόσιν, ἐπιγράψαντες σφᾶς αὐτούς ἐπιτρόπους, καὶ μισθοῦν ἐκέλευον τὸν ἄρχοντα τοὺς οἴκους ὡς ὀρφανῶν ὄντων, ὅπως ἐπὶ τοῖς τούτων ὀνόμασι τὰ μὲν μισθωθείη τῆς οὐσίας, τὰ δὲ ἀποτιμήματα κατασταθείη καὶ ὅροι || τεθεῖεν ζῶντος ἔτι τοῦ Εὐκτήμονος, μισθωταὶ δὲ αὐτοὶ γενόμενοι τὰς προσόδους λαμβάνοιεν. 37 Καὶ ἐπειδὴ πρῶτον τὰ δικαστήρια ἐπληρώθη, ὁ μὲν ἄρχων προεκήρυττεν, οἱ δ' ἐμισθοῦντο. Παραγενόμενοι δέ τινες ἐξαγγέλλουσι τοῖς οἰκείοις τὴν ἐπιβουλὴν καὶ ⟨οὗτοι⟩ ἐλθόντες ἐδήλωσαν τὸ πρᾶγμα τοῖς δικασταῖς καὶ οὕτως ἀπεχειροτόνησαν οἱ δικασταὶ μὴ μισθοῦν τοὺς οἴκους· εἰ δ' ἔλαθεν, ἀπωλώλει ἂν ἅπασα ἡ οὐσία. Καί μοι κάλει τοὺς παραγενομένους μάρτυρας.

Μάρτυρες

38 Πρὶν μὲν τοίνυν τούτους γνωρίσαι τὴν ἄνθρωπον καὶ μετ' ἐκείνης ἐπιβουλεῦσαι Εὐκτήμονι, οὕτω πολλὴν οὐσίαν ἐκέκτητο Εὐκτήμων μετὰ τοῦ ὑέος Φιλοκτήμονος ὥστε ἅμα τά τε μέγιστα ὑμῖν λητουργεῖν ἀμφοτέρους τῶν τε ἀρχαίων μηδὲν πραθῆναι τῶν τε προσόδων περιποιεῖν ὥστε ἀεί τι προσκτᾶσθαι· ἐπειδὴ δ' ἐτελεύτησε Φιλοκτήμων, οὕτω διετέθη ἡ οὐσία ὥστε τῶν ἀρχαίων μηδὲ τὰ ἡμίσεα εἶναι λοιπὰ καὶ τὰς προσόδους ἁπάσας ἠφανίσθαι.

35 5 οὐδ' ἐκ Dob. : οὐδὲ || 36 7 δὲ αὐτοὶ Meutzner : δι' αὐτοῦ || 37 4 οὗτοι add. Scheibe || 6 ἀπωλώλει Scheibe : ἀπο- || 38 4 τά τε Fuhr : τε τά.

tous les revenus ont disparu. **39** Et ils ne se contentèrent même pas de ce pillage, juges; mais, après la mort d'Euktémon encore, ils poussèrent l'audace jusqu'à enfermer les esclaves, tandis que le corps était dans la maison, pour que nul ne donnât l'éveil aux deux filles ou à la femme ou à quelqu'un des proches; tous les meubles qui se trouvaient dans la maison, ils les transportèrent, avec l'aide de la créature, dans la maison voisine, habitée en location par un de leurs complices, le fameux Antidoros. **40** Et quand, informées par d'autres, arrivèrent les filles et la femme, même alors ils ne les laissèrent pas entrer, mais leur fermèrent la porte en déclarant que l'enterrement d'Euktémon ne les regardait pas; elles ne purent pénétrer dans la maison qu'à grand peine et au coucher du soleil. **41** Quand elles entrèrent, elles trouvèrent le défunt qui gisait là depuis deux jours, au dire des esclaves, et tout le mobilier déménagé par ces gens. Les femmes, comme il convenait, restaient auprès du mort; mais mes clients firent constater sur le champ à ceux qui les accompagnaient l'état des lieux et commencèrent par demander aux esclaves, en présence de nos adversaires, où avait passé le mobilier. **42** Ils déclarèrent qu'on l'avait transporté dans la maison voisine et, sur-le-champ, mes clients réclamèrent des autres une perquisition légale[1] et la remise des esclaves qui avaient effectué le déménagement; mais ils ne purent obtenir d'eux leur droit. Pour prouver que je dis la vérité, prends ces pièces et lis-les.

⟨Témoignages⟩

43 Après avoir enlevé du domicile tant de meubles, vendu un si important avoir dont ils ont conservé le montant, et, de plus, dilapidé les revenus pendant tout ce temps, ils croient encore qu'ils accapareront le reste; et ils en sont venus

1. La loi accordait le droit de perquisition lorsqu'on soupçonnait c recel; il fallait déposer ses vêtements avant d'entrer dans la demeure sujette au soupçon. Nul n'en pouvait interdire l'accès, sous peine de payer le double de la valeur de l'objet dérobé.

39 Καὶ οὐδὲ ταῦτα ἐξήρκεσεν αὐτοῖς διαφορῆσαι, ὦ ἄνδρες, ἀλλ᾽ ἐπειδὴ καὶ ἐτελεύτησεν ὁ Εὐκτήμων, εἰς τοῦτο ἦλθον τόλμης ὥστ᾽ ἐκείνου κειμένου ἔνδον τοὺς μὲν οἰκέτας ἐφύλαττον, ὅπως μηδεὶς ἐξαγγείλειε μήτε τοῖν θυγατέροιν μήτε τῇ γυναικὶ αὐτοῦ μήτε τῶν οἰκείων μηδενί, τὰ δὲ χρήματα ἔνδοθεν ἐξεφορήσαντο μετὰ τῆς ἀνθρώπου εἰς τὴν δμότοιχον οἰκίαν, ἣν ᾤκει μεμισθωμένος εἷς τούτων, Ἀντίδωρος ἐκεῖνος. 40 Καὶ οὐδ᾽ ἐπειδὴ ἑτέρων πυθόμεναι ἦλθον αἱ θυγατέρες αὐτοῦ καὶ ἡ γυνή, οὐδὲ τότε εἴων εἰσιέναι, ἀλλ᾽ ἀπέκλεισαν τῇ θύρᾳ, φάσκοντες οὐ προσήκειν αὐταῖς θάπτειν Εὐκτήμονα· καὶ οὐδ᾽ εἰσελθεῖν ἐδύναντο, εἰ μὴ μόλις καὶ περὶ ἡλίου δυσμάς. 41 Εἰσελθοῦσαι δὲ κατέλαβον ἐκεῖνον μὲν ἔνδον κείμενον δευτεραῖον, ὡς ἔφασαν οἱ οἰκέται, τὰ δ᾽ ἐκ τῆς οἰκίας ἅπαντα ἐκπεφορημένα ὑπὸ τούτων. Αἱ μὲν οὖν γυναῖκες, οἷον εἰκός, περὶ τὸν τετελευτηκότα ἦσαν· οὗτοι δὲ τοῖς ἀκολουθήσασι παραχρῆμα ἐπεδείκνυσαν τὰ ἔνδον ὡς εἶχε, καὶ τοὺς οἰκέτας πρῶτον ἠρώτων ἐναντίον τούτων ὅποι τετραμμένα εἴη τὰ χρήματα. 42 Λεγόντων δ᾽ ἐκείνων ὅτι οὗτοι ἐξεννοχότες εἶεν εἰς τὴν πλησίον οἰκίαν, καὶ ἀξιούντων παραχρῆμα τῶνδε φωρᾶν κατὰ τὸν νόμον καὶ τοὺς οἰκέτας ἐξαιτούντων τοὺς ἐκφορήσαντας, οὐκ ἠθέλησαν τῶν δικαίων οὐδὲν ποιῆσαι. Καὶ ὅτι ἀληθῆ λέγω, λαβὲ ταυτὶ καὶ ἀνάγνωθι.

⟨Μαρτυρίαι⟩

43 Τοσαῦτα μὲν τοίνυν χρήματα ἐκ τῆς οἰκίας ἐκφορήσαντες, τοσαύτης δ᾽ οὐσίας πεπραμένης τὴν τιμὴν ἔχοντες, ἔτι δὲ τὰς προσόδους τὰς ἐν ἐκείνῳ τῷ χρόνῳ γενομένας διαφορήσαντες, οἴονται καὶ τῶν λοιπῶν κύριοι

39 4 τοῖν Naber : ταῖν || 40 3 εἴων Hirschig : ἡ(ε)ίων, ε eraso || τῇ θύρᾳ Dob. : τὴν θύραν || 42 3 τῶνδε φωρᾶν Scaliger : τῶν δ᾽ ἐφορᾶν || 7 μαρτυρίαι add. Reiske : lacun. quinque litterarum habet A.

à ce degré d'impudence que, ne se risquant pas à introduire une action directe, ils ont formé, comme s'il s'agissait d'enfants légitimes, une opposition à la fois mensongère et en contradiction avec leur précédente conduite. **44** Les mêmes enfants qu'ils avaient fait inscrire devant l'archonte comme fils, l'un de Philoktémon, l'autre d'Ergaménès, voici que maintenant ils attestent qu'ils sont fils d'Euktémon. Admettons, comme ils le prétendent, qu'ils soient fils légitimes de l'un, fils adoptifs des autres ; dans ce cas encore le nom de fils d'Euktémon ne leur convient pas, car la loi ne permet pas de rentrer dans la maison que l'on a quittée sans laisser dans l'autre un fils légitime[1] ; ainsi leurs actes démentent nécessairement leur témoignage. **45** Si naguère ils avaient réussi à obtenir l'adjudication des biens, il n'y aurait plus de recours pour mes amis ; maintenant, après le vote défavorable des juges qui leur a retiré tout droit, ils n'ont pas risqué une revendication ; mais, par un comble d'audace, ils ont fait attester les droits à l'héritage de ceux-là mêmes que votre vote avait exclus.

46 Voyez encore l'impudence et l'effronterie du témoin lui-même : il a revendiqué pour son compte la fille d'Euktémon, en qualité d'épiklère[2], et une part de l'héritage d'Euktémon, qui devait être adjugée du même coup ; puis il est venu attester qu'Euktémon avait un fils légitime. Est-il possible de mieux démontrer soi-même la fausseté de son témoignage ? Car, sans doute, s'il existe un fils légitime d'Euktémon, la fille n'est pas épiklère, et l'héritage ne doit pas être adjugé par le tribunal. Or il a bien intenté ces actions, on va vous lire les témoignages.

⟨Témoignages⟩

47 Il s'est donc passé le contraire de ce que prescrit la

1. Il est possible que les « maisons » des fils aient été regardées comme distinctes de celle de leur père.

2. Cf. p. 29, note 1, et p. 112, note 1.

γενήσεσθαι· καὶ εἰς τοῦτο ἀναιδείας ἥκουσιν ὥστ' εὐθυδικίᾳ μὲν οὐκ ἐτόλμησαν εἰσελθεῖν, ἀλλὰ διεμαρτύρουν ὡς ὑπὲρ γνησίων ἅμα μὲν τὰ ψευδῆ, ἅμα δὲ τἀναντία οἷς αὐτοὶ ἔπραξαν· 44 οἵτινες πρὸς μὲν τὸν ἄρχοντα ἀπέγραψαν αὐτοὺς ὡς ὄντας τὸν μὲν Φιλοκτήμονος τὸν δ' Ἐργαμένους, νῦν δὲ διαμεμαρτυρήκασιν Εὐκτήμονος εἶναι. Καίτοι οὐδ' εἰ γνήσιοι ἦσαν, εἰσποίητοι δέ, ὡς οὗτοι ἔφασαν, οὐδ' οὕτως προσῆκεν αὐτοὺς Εὐκτήμονος εἶναι· ὁ γὰρ νόμος οὐκ ἐᾷ ἐπανιέναι, ἐὰν μὴ ὑὸν ⟨ἐγ⟩καταλίπῃ γνήσιον. Ὥστε καὶ ἐξ ὧν αὐτοὶ ἔπραξαν ἀνάγκη τὴν μαρτυρίαν ψευδῆ εἶναι. 45 Καὶ εἰ μὲν τότε διεπράξαντο μισθωθῆναι τοὺς οἴκους, οὐκ ἂν ἔτι ἦν τοῖσδε ἀμφισβητῆσαι· νῦν δὲ ἀποχειροτονησάντων τῶν δικαστῶν ὡς οὐδὲν αὐτοῖς προσῆκον, οὐδὲ ἀμφισβητῆσαι τετολμήκασιν· ἀλλὰ πρὸς ὑπερβολὴν ἀναισχυντίας [προσ]μεμαρτυρήκασι τούτους εἶναι κληρονόμους, οὓς ὑμεῖς ἀπεχειροτονήσατε.

46 Ἔτι δὲ καὶ τοῦ μάρτυρος αὐτοῦ σκέψασθε τὴν τόλμαν καὶ ἀναίδειαν, ὅστις εἴληχε μὲν αὐτῷ τῆς θυγατρὸς τῆς Εὐκτήμονος ὡς οὔσης ἐπικλήρου, καὶ αὐτοῦ τοῦ κλήρου τοῦ Εὐκτήμονος [πέμπτου] || ⟨τοῦ⟩ μέρους ὡς ἐπιδίκου ὄντος, μεμαρτύρηκε δ' Εὐκτήμονος ὑὸν εἶναι γνήσιον. Καίτοι πῶς οὗτος οὐ σαφῶς ἐξελέγχει αὐτὸς αὑτὸν τὰ ψευδῆ μεμαρτυρηκότα; Οὐ γὰρ δήπου γνησίου ὄντος ὑέος Εὐκτήμονι ἐπίκληρος ἂν ἦν ἡ θυγάτηρ αὐτοῦ, οὐδὲ ὁ κλῆρος ἐπίδικος. Ὡς τοίνυν ἔλαχε ταύτας τὰς λήξεις, ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας.

⟨Μαρτυρίαι⟩

47 Τοὐναντίον τοίνυν συμβέβηκεν ἢ ὡς ὁ νόμος γέγρα-

44 2 Φιλοκτήμονος A : Ἡγήμονος Sauppe || 6 <ἐγ>καταλίπῃ Herwerden || 45 1 διεπράξαντο Reiske : -ατο || 4 προσῆκον Dob. : -κεν || 5 [προσ]μεμαρτυρήκασι Wyse : διαμεμ- coniecit Buerm. || 46 4 πέμπτου secl. et τοῦ add. Buerm. || 11 μαρτυρίαι add. Ald.

loi. Légalement le fils et la fille illégitimes sont exclus de la participation au culte et au patrimoine de la famille depuis l'archontat d'Eukleidès[1] ; mais Androklès et Antidoros estiment qu'au détriment des filles légitimes d'Euktémon et de leurs enfants, ils doivent, eux, posséder la fortune d'Euktémon et aussi celle de Philoktémon. 48 Et la créature qui a fait perdre la tête à Euktémon et qui a mis la main sur tant de biens, confiante en l'appui de ces hommes, manifeste une insolence telle qu'elle méprise non seulement les proches d'Euktémon, mais encore toute la ville. Écoutez un fait, qui suffira, à lui seul, à vous faire connaître son mépris des lois. Lis-moi ce texte de loi.

⟨Loi⟩

49 Voilà, juges, le texte vénérable et sacré de la loi, que vous avez instituée parce que vous teniez essentiellement à manifester votre piété envers les deux déesses et les autres divinités. Mais la mère de ces jeunes gens, une esclave, au su de tous, et dont la conduite a toujours été scandaleuse, 50 qui n'aurait pas dû pénétrer dans le sanctuaire ni voir les cérémonies qu'on y célébrait, lorsqu'on a offert le sacrifice aux déesses, a eu l'audace d'accompagner la procession, de pénétrer dans le sanctuaire et de voir ce qui lui était interdit[2]. La preuve de ma véracité, vous la trouverez dans les décrets votés par le Conseil[3] au sujet de cette femme. Prends le décret.

Décret

51 Vous devez vous demander maintenant, juges, si le fils de cette femme doit être l'héritier de Philoktémon et doit aller sur les tombes de la famille pour y faire les libations et

1. En 403/2. La loi de Périklès de 451/0 avait déjà exclu les bâtards ; mais, à la fin de la guerre du Péloponnèse, il y avait eu bien des tolérances.

2. Il s'agit des *Thesmophories* en l'honneur de Déméter et Koré.

3. Cette assemblée connaît de la plupart des actes d'impiété.

πται· ἐκεῖ μὲν γὰρ ἔστι νόθῳ μηδὲ νόθῃ ⟨μὴ⟩ εἶναι ἀγχιστείαν μήθ' ἱερῶν μήθ' ὁσίων ἀπ' Εὐκλείδου ἄρχοντος, Ἀνδροκλῆς δὲ καὶ Ἀντίδωρος οἴονται δεῖν, ἀφελόμενοι τὰς Εὐκτήμονος θυγατέρας τὰς γνησίας καὶ τοὺς ἐκ τούτων γεγονότας, τόν τε Εὐκτήμονος οἶκον καὶ τὸν Φιλοκτήμονος ἔχειν. 48 Καὶ ἡ διαφθείρασα τὴν Εὐκτήμονος γνώμην καὶ πολλῶν ἐγκρατὴς γενομένη οὕτως ὑβρίζει σφόδρα πιστεύουσα τούτοις ὥστε οὐ μόνον τῶν Εὐκτήμονος οἰκείων καταφρονεῖ, ἀλλὰ καὶ τῆς πόλεως ἁπάσης. Ἀκούσαντες δὲ ἓν μόνον σημεῖον ῥᾳδίως γνώσεσθε τὴν ἐκείνης παρανομίαν. Καί μοι λαβὲ τοῦτον τὸν νόμον.

⟨Νόμος⟩

. 49 Ταυτὶ τὰ γράμματα, ὦ ἄνδρες, ὑμεῖς οὕτω σεμνὰ καὶ εὐσεβῆ ἐνομοθετήσατε, περὶ πολλοῦ ποιούμενοι καὶ πρὸς τούτω καὶ πρὸς τοὺς ἄλλους θεοὺς εὐσεβεῖν· ἡ δὲ τούτων μήτηρ, οὕτως ὁμολογουμένως οὖσα δούλη καὶ ἅπαντα τὸν χρόνον αἰσχρῶς βιοῦσα, 50 ἣν οὔτε παρελθεῖν εἴσω τοῦ ἱεροῦ ἔδει οὔτ' ἰδεῖν τῶν ἔνδον οὐδέν, οὔσης τῆς θυσίας ταύταις ταῖς θεαῖς, ἐτόλμησεν συμπέμψαι τὴν πομπὴν καὶ εἰσελθεῖν εἰς τὸ ἱερὸν καὶ ἰδεῖν ἃ οὐκ ἐξῆν αὐτῇ. Ὡς δὲ ἀληθῆ λέγω, ἐκ τῶν ψηφισμάτων γνώσεσθε ἃ ἐψηφίσατο ἡ βουλὴ περὶ αὐτῆς. Λαβὲ τὸ ψήφισμα.

Ψήφισμα

51 Ἐνθυμεῖσθαι τοίνυν χρή, ὦ ἄνδρες, πότερον δεῖ τὸν ἐκ ταύτης τῶν Φιλοκτήμονος εἶναι κληρονόμον καὶ ἐπὶ τὰ μνήματα ἰέναι χεόμενον καὶ ἐναγιοῦντα, ἢ τὸν ἐκ τῆς

47 2 μὴ add. Sauppe || 4 Ἀνδροκλῆς Schoem. : -κλείδης || 48 7 νόμος add. Ald. || 49 3 τούτω Herwerden Fuhr : ταῦτα || 4 ὁμολογουμένως Dob. : -μένη || 50 1 et 2 οὔτε ... οὔτ' Bek. : οὐδὲ ... οὐδ' || 4 ἐξῆν Bek. : ἐξόν.

les sacrifices, ou si ce devoir revient au fils de sa sœur, qu'il a lui-même adopté. La sœur de Philoktémon, jadis femme de Chairéas, veuve maintenant, doit-elle dépendre de ces individus, qui la marieront à leur gré ou la laisseront vieillir sans mari ; ou bien, en sa qualité de fille légitime, devez-vous disposer de sa main comme vous le jugerez bon ? 52 Le vote que vous allez rendre portera sur ces questions. Car c'est le but de la procédure suivie par nos adversaires, que mes amis soient exposés à tous ces risques, et qu'eux au contraire, à supposer qu'ils échouent dans le présent procès et que la succession soit reconnue susceptible d'être adjugée, en introduisant une action contradictoire, ils puissent rouvrir le débat sur le même sujet. Pourtant, si Philoktémon a fait un testament sans en avoir le droit, l'opposition aurait dû porter sur ce point qu'il n'était pas maître d'adopter comme fils celui que voici ; si au contraire le droit de tester est réel, mais si l'on conteste l'existence du legs ou du testament, il fallait non pas opposer une fin de non-recevoir, mais introduire une action directe. 53 Mais, en fait, est-il meilleur moyen de convaincre cet homme de faux témoignage que de lui demander : « Androklès, comment sais-tu que Philoktémon n'a pas fait de testament et n'a pas adopté Chairestratos ? » Lorsqu'on a assisté à un acte, juges, on peut justement en témoigner ; lorsque, sans y avoir assisté, on en a entendu parler, on ne peut témoigner que par ouï-dire ; 54 mais toi, qui n'étais pas présent, tu as expressément attesté que Philoktémon n'avait pas fait de testament, et qu'il était mort sans enfant. Et comment pouvait-il le savoir, juges ? C'est tout comme s'il prétendait connaître en son absence toutes vos actions. Il n'ira pas dire sans doute, malgré son impudence, qu'il a assisté à tous les actes et connu toutes les démarches de Philoktémon dans le cours de sa vie ; 55 car Philoktémon le détestait entre tous pour sa méchanceté ordinaire, et aussi parce que, seul de toute la parenté, il avait lié partie avec la fameuse Alké, de concert avec cet autre et ses complices, pour s'emparer des biens d'Euktémon, et avait mené l'affaire comme je vous l'ai montré.

56 Mais ce dont il faut s'indigner avant tout, c'est de l'abus

ἀδελφῆς τοῦτον, ὃν ὑὸν αὐτὸς ἐποιήσατο· καὶ πότερον δεῖ τὴν ἀδελφὴν ⟨τὴν⟩ Φιλοκτήμονος, ἣ Χαιρέᾳ συνῴκησε, νῦν δὲ χηρεύει, ἐπὶ τούτοις γενέσθαι ἢ ἐκδοῦναι ὅτῳ βούλονται ἢ ἐὰν καταγηράσκειν, ἢ γνησίαν οὖσαν ὑφ᾽ ὑμῶν ἐπιδικασθεῖσαν συνοικεῖν ὅτῳ ἂν ὑμῖν δοκῇ· **52** Ἡ γὰρ ψῆφός ἐστι περὶ τούτων νυνί· πουτὶ γὰρ αὐτοῖς ἡ διαμαρτυρία δύναται, ἵν᾽ ὁ κίνδυνος τοῖσδε μὲν ᾖ περὶ τούτων, οὗτοι δέ, κἂν νῦν διαμάρτωσι τοῦ ἀγῶνος, δόξῃ δὲ ὁ κλῆρος ἐπίδικος εἶναι, ἀντιγραψάμενοι δὶς περὶ τῶν αὐτῶν ἀγωνίζωνται. Καίτοι εἰ μὲν διέθετο Φιλοκτήμων μὴ ἐξὸν αὐτῷ, τοῦτ᾽ αὐτὸ ἐχρῆν διαμαρτυρεῖν, ὡς οὐ κύριος ἦν ὑὸν τόνδε ποιήσασθαι· εἰ δ᾽ ἔξεστι μὲν διαθέσθαι, ἀμφισβητεῖ δὲ ὡς οὐ δόντος οὐδὲ διαθεμένου, μὴ διαμαρτυρίᾳ κωλύειν, ἀλλ᾽ εὐθυδικίᾳ εἰσιέναι. **53** Νῦν δὲ πῶς ἄν τις περιφανέστερον ἐξελεγχθείη τὰ ψευδῆ μεμαρτυρηκὼς ἢ εἴ τις αὐτὸν ἔροιτο· « Ἀνδρόκλεις, πῶς οἶσθα Φιλοκτήμον᾽ ὅτι οὔτε διέθετο οὔτε ὑὸν Χαιρέστρατον ἐποιήσατο » ; Οἷς μὲν γάρ τις παρεγένετο, δίκαιον, ὦ ἄνδρες, μαρτυρεῖν, οἷς δὲ μὴ παρεγένετο, ἀλλ᾽ ἤκουσέ τινος, ἀκοὴν μαρτυρεῖν· **54** σὺ δ᾽ οὐ παραγενόμενος διαρρήδην μεμαρτύρηκας ὡς οὐ διέθετο Φιλοκτήμων, ἀλλ᾽ ἄπαις ἐτελεύτησε. Καίτοι πῶς οἷόν τε εἰδέναι, ὦ ἄνδρες ; Ὅμοιον γὰρ ὥσπερ ἂν εἰ φαίη εἰδέναι, καὶ μὴ παραγενόμενος, ὅσα ὑμεῖς πάντες πράττετε. Οὐ γὰρ δὴ τοῦτό γε ἐρεῖ, καίπερ ἀναίσχυντος ὤν, ὡς ἅπασι παρεγένετο καὶ πάντ᾽ οἶδεν ὅσα Φιλοκτήμων ἐν τῷ βίῳ διεπράξατο. **55** Πάντων γὰρ αὐτὸν ἐκεῖνος ἔχθιστον ἐνόμιζε διά ⟨τε⟩ τὴν ἄλλην πονηρίαν καὶ διότι τῶν συγγενῶν μόνος μετὰ τῆς Ἀλκῆς ἐκείνης τούτῳ καὶ τοῖς ἄλλοις συνεπιβουλεύσας τοῖς τοῦ Εὐκτήμονος χρήμασι τοιαῦτα διεπράξατο, οἷά περ ὑμῖν ἀπέδειξα.

56 Πάντων δὲ μάλιστα ἀγανακτῆσαί ἐστιν ἄξιον, ὅταν

51 4 δεῖ A^2 : δὴ || 5 τὴν add. Dob. || **52** 5 ἀγωνίζωνται A^2 : -ζονται || **53** 2 ἐξελεγχθείη M Ald. : -γχείη || 3 Φιλοκτήμον᾽ Baiter : -μων || 5 μαρτυρεῖν A^2 : -ρεῖ || **55** 2 τε add. Ald.

que ces individus font du nom d'Euktémon, le grand-père de mon ami. En effet, si Philoktémon, comme ils le disent, n'avait pas le droit de tester et s'il s'agit de la succession d'Euktémon, qui doit en hériter au plus juste titre? Les filles d'Euktémon, dont tous reconnaissent la légitimité, et nous[1], qui sommes nés d'elles, ou des gens qui n'ont aucun lien de parenté? 57 Et des gens, que confondent non seulement nos arguments, mais encore tous les actes de leurs tuteurs. Car il est un point, juges, que je vous prie et vous conjure de bien vous rappeler : c'est que, comme je vous l'ai démontré tout à l'heure, Androklès prétend être tuteur d'enfants qui seraient les enfants légitimes d'Euktémon, et qu'en même temps il a revendiqué pour lui l'héritage d'Euktémon, et sa fille comme épiklère[2]. 58 Des témoins vous l'ont attesté. N'est-ce pas une conduite étrange, juges, au nom de tous les dieux de l'Olympe? Si les enfants sont légitimes, voit-on le tuteur réclamer pour lui l'héritage d'Euktémon et la main de la fille dont le tribunal pourrait disposer? Et s'ils ne sont pas légitimes, comment vient-il attester maintenant leur légitimité? Tout cela n'est que contradiction. Ainsi ce n'est pas seulement par nous qu'il est convaincu de faux-témoignage, mais encore par ses propres actes. 59 Nul ne vient, contre Androklès, attester que la succession échappe à l'adjudication légale; il lui était donc possible de procéder par action directe[3]; mais cet homme veut étouffer toute revendication. Après avoir témoigné expressément que les enfants étaient légitimes, il pense que des digressions oratoires vous suffiront : sans essayer de démontrer le point en question ou en y touchant à peine, il nous invectivera de sa voix puissante et déclarera que ses adversaires sont riches, que lui, il est pauvre[4] : voilà pourquoi il faudra reconnaître la légitimité

1. Dans son émotion, l'avocat s'associe à ses clients.

2. La contradiction entre les deux revendications d'Androklès est en effet flagrante et bien propre à faire soupçonner le caractère frauduleux de toute sa procédure ; c'est pourquoi l'orateur insiste sur ce point.

3. On sait que la διαμαρτυρία était suspecte aux juges ; cf. VII, 3.

4. Argument fréquemment employé.

οὗτοι καταχρῶνται τῷ Εὐκτήμονος ὀνόματι τοῦ τουδὶ πάππου. Εἰ γάρ, ὡς οὗτοι λέγουσι, τῷ μὲν Φιλοκτήμονι μὴ ἐξὴν διαθέσθαι, τοῦ δ' Εὐκτήμονός ἐστιν ὁ κλῆρος, πότερον δικαιότερον τῶν Εὐκτήμονος κληρονομεῖν τὰς ἐκείνου θυγατέρας, ὁμολογουμένως οὔσας γνησίας, || καὶ ἡμᾶς τοὺς ἐκ τούτων γεγονότας ἢ τοὺς οὐδὲν προσήκοντας; 57 Οἳ οὐ μόνον ὑφ' ἡμῶν ἐλέγχονται, ἀλλὰ καὶ ἐξ ὧν αὐτοὶ ⟨οἱ⟩ ἐπίτροποι διαπεπραγμένοι εἰσί. Τοῦτο γὰρ ὑμῶν δέομαι καὶ ἱκετεύω σφόδρα μεμνῆσθαι, ὦ ἄνδρες, ὅπερ ὀλίγῳ πρότερον ἀπέδειξα ὑμῖν, ὅτι Ἀνδροκλῆς οὗτοσὶ φησὶ μὲν εἶναι ἐπίτροπος αὐτῶν ὡς ὄντων γνησίων Εὐκτήμονος, εἴληχε δ' αὐτὸς [ἐφ'] ἑαυτῷ τοῦ Εὐκτήμονος κλήρου καὶ τῆς θυγατρὸς αὐτοῦ ὡς οὔσης ἐπικλήρου· 58 καὶ ταῦτα μεμαρτύρηται ὑμῖν. Καίτοι πῶς οὐ δεινόν, ὦ ἄνδρες, πρὸς θεῶν Ὀλυμπίων, εἰ μὲν οἱ παῖδές εἰσι γνήσιοι, τὸν ἐπίτροπον ἑαυτῷ λαγχάνειν τοῦ Εὐκτήμονος κλήρου καὶ τῆς θυγατρὸς αὐτοῦ ὡς οὔσης ἐπιδίκου, εἰ δὲ μή εἰσι γνήσιοι, νῦν διαμεμαρτυρηκέναι ὡς εἰσὶ γνήσιοι; Ταῦτα γὰρ αὐτὰ ἑαυτοῖς ἐναντία ἐστίν. Ὥστ' οὐ μόνον ὑφ' ἡμῶν ἐλέγχεται τὰ ψευδῆ διαμεμαρτυρηκώς, ἀλλὰ καὶ ἐξ ὧν αὐτὸς πράττει. 59 Καὶ τούτῳ μὲν οὐδεὶς διαμαρτυρεῖ μὴ ἐπίδικον εἶναι τὸν κλῆρον, ἀλλ' εὐθυδικίᾳ εἰσιέναι ⟨ἐξὴν⟩, οὗτος δ' ἅπαντας ἀποστερεῖ τῆς ἀμφισβητήσεως. Καὶ διαρρήδην μαρτυρήσας γνησίους τοὺς παῖδας εἶναι οἴεται ἐξαρκέσειν ὑμῖν παρεκβάσεις, ἐὰν δὲ τοῦτο μὲν μηδ' ἐγχειρήσῃ ἐπιδεικνύναι ἢ καὶ κατὰ μικρόν τι ἐπιμνησθῇ, ἡμῖν δὲ λοιδορήσηται μεγάλῃ τῇ φωνῇ καὶ λέγῃ ὡς εἰσὶν οἵδε μὲν πλούσιοι, αὐτὸς δὲ πένης, διὰ [δὲ] ταῦτα δόξειν τοὺς παῖδας εἶναι γνη-

56 2 τοῦ τουδὶ πάππου Reiske: τῷ τουδὶ πάππῳ A, omissis antea verbis τῷ Εὐκτ. ὀνόματι quae add. A¹ || **57** 2 ὑφ' Bek.: ἐξ || 2 οἱ add. A² || 5 φησὶ Ald.: φήσει || εἶναι A²: οἶναι || 7 αὐτὸς Reiske: αὐτοῖς || ἐφ' secl. Reiske || **58** 7 ἐστίν M Bek.: εἰσιν || **59** 2 ἐξὴν add. Thal.: ἐᾷ Herwerden Wyse || 6 λοιδορήσηται Ald.: -σεται || 7 λέγῃ Ald.: λέγει || 8 δὲ secl. Buerm.

des enfants. 60 Mais cette fortune, juges, est employée plus pour la ville que pour les possesseurs eux-mêmes. Phanostratos a été triérarque sept fois déjà, il a exercé toutes les liturgies et, dans la plupart, il a remporté le prix. Chairestratos, ici présent, à son âge, a déjà été triérarque, chorège aux concours tragiques, gymnasiarque[1] pour la course aux flambeaux ; quant aux contributions de guerre, l'un et l'autre les ont toutes versées, parmi les trois cents dont ils font partie[2]. Jusqu'à présent, ils étaient deux, mais maintenant le second fils que voici est chorège aux concours tragiques, a été inscrit parmi les trois cents et y paie les contributions. 61 Ainsi ils n'ont rien fait pour s'attirer la malveillance, due bien plutôt, par Zeus et par Apollon, à nos adversaires, s'ils s'emparent de ce qui ne leur appartient pas ; car si l'héritage de Philoktémon est attribué à Chairestratos, il en sera l'intendant en votre nom, puisqu'il s'acquittera de toutes les liturgies dont on le chargera, comme maintenant et mieux encore que maintenant ; si ce sont nos adversaires qui le recueillent, ils le dilapideront et ensuite s'attaqueront à d'autres.

62 Je vous demande donc, juges, pour éviter d'être trompés, de bien faire attention à l'acte d'opposition sur lequel vous devrez voter ; obligez notre adversaire à faire porter sa défense sur cet acte, contre lequel nous avons dirigé notre attaque. Il y a déclaré par écrit que Philoktémon n'a fait ni donation ni testament. Il a été prouvé que c'était faux ; car les témoins présents alors ont déposé. 63 Quoi encore ? Philoktémon serait mort sans enfant. Comment était-il sans enfant, puisqu'il a laissé en mourant un fils adoptif, son neveu, auquel la loi attribue la succession au même titre qu'à un enfant par le sang ? Il est expressément stipulé par la loi que si, postérieurement à une adoption, il naît des enfants, la fortune est partagée, et la répartition se fait également entre les deux catégories. 64 Les enfants que voici sont-ils donc légitimes ? Qu'Androklès le prouve, comme chacun d'entre vous le

1. Cf. p. 47, note 1.

2. Les trois cents, choisis parmi les plus riches, faisaient l'avance des contributions extraordinaires et les recouvraient ensuite.

σίους. 60 Τῆς δὲ τούτων οὐσίας, ὦ ἄνδρες, εἰς τὴν πόλιν πλείω ἀναλίσκεται ἢ εἰς αὐτοὺς τούτους. Καὶ Φανόστρατος μὲν τετριηράρχηκεν ἑπτάκις ἤδη, τὰς δὲ λητουργίας ἁπάσας λελητούργηκε καὶ τὰς πλείστας νίκας νενίκηκεν· οὗτοσὶ δὲ Χαιρέστρατος τηλικοῦτος ὢν τετριηράρχηκε, κεχορήγηκε δὲ τραγῳδοῖς, γεγυμνασιάρχηκε δὲ λαμπάδι· καὶ τὰς εἰσφορὰς εἰσενηνόχασιν ἀμφότεροι πάσας ἐν τοῖς τριακοσίοις. Καὶ τέως μὲν δύ᾽ ὄντες, νῦν δὲ καὶ ὁ νεώτερος οὗτοσὶ χορηγεῖ μὲν τραγῳδοῖς, εἰς δὲ τοὺς τριακοσίους ἐγγέγραπται καὶ εἰσφέρει τὰς εἰσφοράς. 61 Ὥστ᾽ οὐ φθονεῖσθαί εἰσιν ἄξιοι, ἀλλὰ πολὺ μᾶλλον, νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω, οὗτοι, εἰ λήψονται ἃ μὴ προσήκει αὐτοῖς. Τοῦ γὰρ Φιλοκτήμονος κλήρου ἐὰν μὲν ἐπιδικάσηται ὅδε, ὑμῖν αὐτὸν ταμιεύσει, τὰ προσταττόμενα λητουργῶν ὥσπερ καὶ νῦν καὶ ἔτι μᾶλλον· ἐὰν δ᾽ οὗτοι λάβωσι, διαφορήσαντες ἑτέροις ἐπιβουλεύσουσι.

62 Δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες, ἵνα μὴ ἐξαπατηθῆτε, τῇ διαμαρτυρίᾳ τὸν νοῦν προσέχειν, περὶ ἧς τὴν ψῆφον οἴσετε· καὶ πρὸς ταύτην αὐτὸν κελεύετε τὴν ἀπολογίαν ποιεῖσθαι, ὥσπερ καὶ ἡμεῖς κατηγορήσαμεν. Γέγραπται ὡς οὐκ ἔδωκεν οὐδὲ διέθετο Φιλοκτήμων· τοῦτο ἐπιδέδεικται ψεῦδος ὄν· καὶ γὰρ [ὁ δοὺς καὶ ὁ διαθέμενος καὶ] μαρτυροῦσιν οἱ παραγενόμενοι. 63 Τί ἔτι; τελευτήσαι ἄπαιδα Φιλοκτήμονα. Πῶς οὖν ἄπαις ἦν ὅστις τὸν ἑαυτοῦ ἀδελφιδοῦν ὑὸν ποιησάμενος κατέλιπεν, ᾧ ὁμοίως ὁ νόμος τὴν κληρονομίαν ἀποδίδωσι καὶ τοῖς ἐξ αὐτοῦ γενομένοις; Καὶ διαρρήδην ἐν τῷ νόμῳ γέγραπται, ἐὰν ποιησαμένῳ παῖδες ἐπιγένωνται, τὸ μέρος ἑκάτερον ἔχειν τῆς οὐσίας καὶ κληρονομεῖν ὁμοίως ἀμφοτέρους. 64 Ὡς οὖν εἰσὶ γνήσιοι οἱ παῖδες οἵδε, τοῦτ᾽ αὐτὸ ἐπιδεικνύτω, ὥσπερ ἂν ὑμῶν ἕκασ-

60 2 Φανόστρατος A^2 : -νεστρ- || 7 εἰσενηνόχασιν Reiske : -χαν || 62 3 αὐτόν A^2 : αὐτῶν || 6 ὄν A^2 : ὧν || καὶ γὰρ ὁ δοὺς καὶ ὁ διαθ. secl. Schoem., serv. Thalh. Wyse, addito ἐκεῖνος post διαθέμενος et post ἐκεῖνος sign. interp. || 63 2 ἄπαις ἦν ὅστις Reiske : ἂν αἴσιμός τις.

devrait faire ! Il ne suffit pas de dire le nom de la mère pour que les enfants soient légitimes ; mais il faut prouver qu'on dit vrai en faisant comparaître les parents, qui sauraient qu'elle a cohabité avec Euktémon, les membres du dème et de la phratrie, qui déclareraient s'ils ont entendu dire ou s'ils savent qu'Euktémon s'est acquitté d'une liturgie pour elle. En outre, où est-elle ensevelie, dans quel tombeau ? **65** Qui a vu Euktémon lui rendre les derniers devoirs ? Et encore, où vont les enfants pour offrir les sacrifices et les libations funèbres ? Qui a été témoin de ces cérémonies parmi les citoyens et parmi les esclaves d'Euktémon ? Voilà tout ce qui peut faire la preuve, mais non des invectives. Et si vous lui enjoignez de démontrer les allégations contenues dans son acte d'opposition, vous rendrez une sentence équitable et conforme aux lois, et mes amis obtiendront leur droit.

τος. Οὐ γὰρ ἐὰν εἴπῃ μητρὸς ὄνομα, γνήσιοί εἰσιν, ἀλλ' ἐὰν ἐπιδεικνύῃ ὡς ἀληθῆ λέγει, τοὺς συγγενεῖς παρεχόμενος τοὺς εἰδότας συνοικοῦσαν τῷ Εὐκτήμονι ⟨καὶ⟩ τοὺς δημότας καὶ τοὺς φράτερας, εἴ τι ἀκηκόασι πώποτε ἢ ἴσασιν ὑπὲρ αὐτῆς Εὐκτήμονα λητουργήσαντα, ἔτι δὲ ποῦ τέθαπται, ἐν ποίοις μνήμασι· 65 τίς εἶδε τὰ νομιζόμενα ποιοῦντα Εὐκτήμονα· ποῖ δ' ἔτ' ἰόντες οἱ παῖδες ἐναγίζουσι καὶ χέονται, καὶ τίς εἶδε ταῦτα τῶν πολιτῶν ἢ τῶν οἰκετῶν ⟨τῶν⟩ Εὐκτήμονος. Ταῦτα γάρ ἐστιν ἔλεγχος ἅπαντα, καὶ οὐ λοιδορία. Καὶ ἐὰν περὶ αὐτοῦ τούτου κελεύητε ἐπιδεικνύναι ὥσπερ καὶ διεμαρτύρησεν, ὑμεῖς τε τὴν ψῆφον δσίαν καὶ κατὰ τοὺς νόμους θήσεσθε, τοῖσδέ τε τὰ δίκαια γενήσεται.

64 3 γνήσιοί εἰσιν Bek. : γνήσιός ἐστιν || 5 καὶ add. Scheibe || **65** 2 ἔτ' ἰόντες A^2 : ἔτι ὄντες || 4 τῶν add. Dob. qui antea οἰκείων malit || ἔλεγχος Ald. : ἔνοχος.

VII

NOTICE

Les trois frères Eupolis, Mnéson et Thrasyllos (I) avaient hérité chacun d'une belle fortune. Mnéson mourut sans enfants, Thrasyllos laissa un fils Apollodoros (I) qui tomba sous la tutelle du dernier frère survivant, Eupolis. Le tuteur

STEMMA



dépouilla son pupille non seulement de la moitié de l'héritage de son oncle Mnéson, qui lui revenait légitimement, mais encore d'une partie de son patrimoine. L'orphelin trouva refuge et appui auprès du second mari de sa mère, Archédamos, qui, à sa majorité, l'aida à recouvrer son bien. Aussi Apollodoros, brouillé avec Eupolis, resta-t-il dans les meil-

leurs termes avec Archidamos et sa descendance. Lorsqu'il eut perdu son fils unique, il adopta un petit-fils de son beau-père, lequel prit le nom de Thrasyllos (II); mais il mourut avant d'avoir complété les formalités de l'adoption. Aussi la succession fut-elle disputée à Thrasyllos par une fille d'Eupolis, cousine germaine d'Apollodoros. Thrasyllos n'osa pas recourir à l'opposition par voie de διαμαρτυρία (voir la notice du discours II), procédure qui n'agréait pas aux juges (§ 3). Par action directe (εὐθυδικία), il revendique la succession.

Sans insister sur le point qu'Apollodoros était mort avant d'avoir pu le faire inscrire au registre officiel du dème, il établit la ferme volonté que le défunt a eue de l'adopter : il expose la brouille de celui-ci avec ses parents les plus proches, Eupolis et ses enfants ; les bonnes relations qu'il entretenait avec la famille de son futur fils adoptif ; enfin les démarches qu'il fit pour donner un caractère légal à l'adoption. Dans l'argumentation, très nette en général, un point fait difficulté. Eupolis avait laissé trois enfants : un fils, Apollodoros (II), qui meurt avant Apollodoros (I), et deux filles. L'une, décédée, avait eu d'Aischinès un fils, Thrasyboulos ; l'autre, femme de Pronapès, était la partie adverse dans le présent procès. Thrasyboulos ne contestait pas l'adoption, et Thrasyllos en tire argument, car Thrasyboulos, déclare-t-il, en vertu du principe de masculinité, aurait droit à la succession entière d'Apollodoros si cette succession était *ab intestat*. Selon le raisonnement d'Isée, s'il s'agit de l'héritage d'un frère, la sœur survivante y a un droit égal à celui du neveu, fils d'une sœur prédécédée ; mais s'il s'agit de l'héritage d'un cousin germain, la cousine germaine serait exclue par son neveu, fils de sa sœur prédécédée. L'affirmation a paru contestable : d'après le droit attique, le principe de la préférence donnée au mâle joue à tous les degrés, aussi bien en ligne directe qu'en ligne collatérale ; mais il faut qu'originairement les successibles de sexe différent aient été au même degré. Si Thrasyboulos avait été fils d'un cousin germain d'Apollodoros, il aurait exclu sa tante, cousine germaine du *de cujus* ; mais, fils lui-même d'une cousine germaine, il ne peut avoir

des droits qui excèdent ceux de sa mère. Si la critique semble fondée, pourquoi Isée a-t-il eu recours à ce raisonnement captieux? Il lui aurait suffi de montrer que Thrasyboulos avait le même intérêt que sa tante à l'annulation de l'adoption, puisque, comme représentant de sa mère, il avait droit désormais à la moitié de l'héritage. Les adversaires objectaient en vain que Thrasyboulos était passé par adoption dans une autre famille : on leur répondait que l'adoption ne fait pas perdre les liens de parenté avec la mère et par la mère (§ 25). Qu'en faut-il conclure? Isée a-t-il préféré un argument d'apparence plus massive, mais vermoulu? Ou bien l'obscurité suffisamment attestée des lois qui réglaient la dévolution des héritages nous dissimule-t-elle un fait exact, ou tout au moins sujet à controverse, dont il a pu faire état sans craindre une réfutation trop aisée?

Le discours est postérieur à 357/6, puisqu'il y est fait allusion à une réforme de la triérarchie (§ 38) qui n'est pas attestée avant cette date. On le place d'ordinaire dans une année pythique, c'est-à-dire à la troisième année d'une Olympiade, 354/3 selon toute apparence. C'est une conclusion abusive. D'après le § 27, Thrasyllos prend part à la Pythaïde, qui est une procession envoyée à Delphes par les Athéniens ; mais, au IVe siècle, il n'y a aucun lien entre cette Pythaïde et la fête panhellénique des Pythia ; elle ne se place nécessairement ni la même année, — ni à la même époque de l'année. Dès lors, on établira ainsi la chronologie des événements rapportés aux §§ 14-17, 27-28 et 36 : en octobre-novembre, mort du fils d'Apollodoros ; peu après, adoption de Thrasyllos ; en avril-mai de l'année suivante, présentation à la phratrie et au γένος ; en mai ou juin, procession de la Pythaïde ; mort d'Apollodoros ; vers juin-juillet (début de l'année attique), assemblée électorale des dèmes et inscription de Thrasyllos sur le registre d'état civil ; vers octobre, fêtes de Prométhée ; peu après, jugement du procès en revendication d'héritage.

VII

LA SUCCESSION D'APOLLODOROS

Sujet du discours

Eupolis, Thrasyllos et Mnéson étaient frères. Mnéson mourut sans enfants, Thrasyllos en laissant un fils, Apollodoros. Eupolis, resté seul, agit très injustement envers Apollodoros ; aussi Archédamos, le grand-père de celui qui prononce le discours, ayant épousé la mère d'Apollodoros après la mort de son mari Thrasyllos, et prenant en pitié Apollodoros orphelin, réclama judiciairement à Eupolis des sommes considérables pour les torts faits à Apollodoros. En souvenir de ces bienfaits, Apollodoros introduisit dans sa phratrie comme son fils adoptif Thrasyllos, défendeur dans ce procès, le fils de sa sœur utérine et d'Archédamos [1]. Alors que Thrasyllos avait déjà été inscrit par les membres du *génos* et de la phratrie, mais non encore sur le registre officiel du dème, Apollodoros mourut. Après sa mort, Thrasyllos est inscrit sur le registre ; néanmoins une fille d'Eupolis, l'oncle d'Apollodoros, revendique la succession contre Thrasyllos en prétendant que Thrasyllos n'a pas du tout été inscrit par les membres de la phratrie et du *génos* sur la volonté d'Apollodoros, mais que l'adoption est fictive. Tel est le sujet ; le débat porte sur une question de fait ; aussi dans une argumentation très forte et habile, l'orateur expose au long l'ini-

1. Il y a sans doute erreur : c'est le grand-père de Thrasyllos (II) qui se nomme Archédamos, et rien n'indique que son père ait eu le même nom ; peut-être faut-il recevoir la correction de Schœmann : le fils de sa sœur utérine et <le petit-fils> d'Archédamos.

VII

ΠΕΡΙ ΤΟΥ ΑΠΟΛΛΟΔΩΡΟΥ ΚΛΗΡΟΥ

Ὑπόθεσις

Εὔπολις καὶ Θράσυλλος καὶ Μνήσων ἀδελφοὶ γεγόνασι. Τούτων ὁ μὲν Μνήσων ἅπαις ἐτελεύτησεν, ὁ δὲ Θράσυλλος παῖδα καταλιπὼν Ἀπολλόδωρον· μόνος δ' Εὔπολις καταλειφθεὶς πολλὰ τὸν Ἀπολλόδωρον ἠδίκησεν. Ὅθεν Ἀρχέδαμος, πάππος τοῦ λέγοντος τὸν λόγον, τῇ τοῦ Ἀπολλοδώρου μητρὶ συνοικῶν μετὰ τὸν Θρασύλλου τοῦ ἀνδρὸς αὐτῆς θάνατον, καὶ τὸν Ἀπολλόδωρον ὡς ὀρφανὸν ἐλεῶν, πολλὰ τὸν Εὔπολιν ἀπῄτησε χρήματα ὑπὲρ ὧν Ἀπολλόδωρον ἠδίκησε. Τούτων μεμνημένος Ἀπολλόδωρος εἰσήγαγεν εἰς τοὺς φράτορας θετὸν υἱὸν ἑαυτῷ Θράσυλλον τοῦτον, υἱὸν ὄντα τῆς τε ὁμομητρίας αὐτοῦ ἀδελφῆς καὶ Ἀρχεδάμου. Τοῦ δὲ Θρασύλλου ἤδη μὲν εἰς τοὺς γεννήτας καὶ φράτορας ἐγγεγραμμένου, οὔπω δ' εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, ἐτελεύτησεν Ἀπολλόδωρος. Καὶ μετὰ τὴν αὐτοῦ τελευτὴν ἐγγέγραπται μὲν ὁ Θράσυλλος εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, οὐδὲν δ' ἧττον Εὐπόλιδος θυγάτηρ, τοῦ θείου Ἀπολλοδώρου, ἀμφισβητεῖ πρὸς Θράσυλλον, λέγουσα μηδ' ὅλως ἐγγεγράφθαι τὸν Θράσυλλον εἰς τοὺς φράτορας καὶ γεννήτας κατὰ γνώμην τοῦ Ἀπολλοδώρου, ἀλλὰ πεπλασμένην εἶναι τὴν ποίησιν. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ δὲ στάσις στοχασμός· διὸ καλῶς πάνυ καὶ τεχνικῶς τὸν λόγον οἰκονομῶν τὴν ἔχθραν διεξέρχεται τὴν Ἀπολλο-

Tit. περὶ Harpocrat. : ὑπὲρ.

Hyp. 12 Ἀρχεδάμου <θυγατριδοῦν> Schoem. || 23 ἔχθραν Reiske : ἐλευθέραν.

mitié d'Apollodoros contre Eupolis, laquelle est une bonne preuve qu'il ne voulait pas faire de la fille d'Eupolis son héritière.

1 Je croyais, juges, qu'une catégorie d'adoptions ne pouvait décemment être contestée ; c'était quand l'intéressé avait procédé à l'adoption de son vivant, en possession de toute sa raison, quand il avait introduit l'adopté aux cérémonies du culte domestique et l'avait présenté aux membres du *génos*[1], quand il l'avait fait inscrire dans les registres officiels, bref quand il avait rempli lui-même toutes les formalités nécessaires. Il en allait autrement quand un homme, en danger de mort, disposait de sa fortune en faveur d'un autre, pour le cas où il lui arriverait malheur, rédigeait un testament et le déposait tout scellé chez des tiers. 2 L'un en effet, par son mode d'adoption, manifeste clairement ses intentions et donne à son acte une valeur irrévocable, avec le concours des lois. L'autre, en consignant ses volontés dans un testament clos, les tient secrètes ; aussi arrive-t-il souvent qu'on attaque l'authenticité de l'acte et qu'on dispute l'héritage à l'adopté. Mais il semble que la première méthode n'ait nulle efficace ; alors que tout en effet s'est passé au grand jour, voici pourtant qu'au nom de la fille d'Eupolis, on vient me contester la succession d'Apollodoros. 3 Pour moi, si je vous avais vus plus favorables à une opposition par témoins qu'à une action directe, j'aurais mis en avant des témoins pour certifier qu'il n'y avait pas lieu à la dévolution judiciaire de la succession, attendu qu'Apollodoros avait fait de moi son fils légalement. Mais puisque le droit ne peut manquer d'être reconnu même par l'autre voie, je suis venu en personne discuter devant vous des faits pour n'encourir point l'accusation d'avoir voulu me soustraire à cette procédure. 4 Je vous démontrerai non seulement qu'Apollodoros n'a pas laissé sa fortune à ses parents les plus proches, parce qu'il avait été à maintes reprises gravement lésé par eux, mais encore qu'il m'a adopté à juste titre, parce que j'étais son neveu et qu'il

1. Ils sont désignés ici par συγγενεῖς au lieu de l'ordinaire γεννῆται.

δώρου πρὸς Εὔπολιν, ὅπερ μέγα σημεῖον γίγνεται τοῦ μὴ θέλειν αὐτὸν ὑπὸ τῆς Εὐπόλιδος θυγατρὸς κληρο- 25
νομηθῆναι.

1 Ὤιμην μέν, ὦ ἄνδρες, προσήκειν οὐ τὰς τοιαύτας ἀμφισβητεῖσθαι ποιήσεις, εἴ τις αὐτὸς ζῶν καὶ εὖ φρονῶν ἐποιήσατο καὶ ἐπὶ τὰ ἱερὰ ἀγαγὼν εἰς τοὺς συγγενεῖς ἀπέδειξε καὶ εἰς τὰ κοινὰ γραμματεῖα ἐνέγραψεν, ἅπανθ' ὅσα προσῆκεν αὐτὸς ποιήσας, ἀλλ' εἴ τις τελευτήσειν μέλλων διέθετο, εἴ τι πάθοι, τὴν οὐσίαν ἑτέρῳ καὶ ταῦτ' ἐν γράμμασι κατέθετο παρά τισι σημηνάμενος. 2 Ἐκεῖνον μὲν γὰρ τὸν τρόπον ποιησάμενος φανερὰς κατέστησε τὰς αὑτοῦ βουλήσεις, ὅλον τὸ πρᾶγμα ἐπικυρώσας, δόντων αὐτῷ τῶν νόμων· ὁ δ' ἐν διαθήκαις σημηνάμενος ἀδήλους ἐποίησε, δι' ὃ πολλοὶ πεπλάσθαι φάσκοντες αὐτὰς ἀμφισβητεῖν ἀξιοῦσι πρὸς τοὺς ποιηθέντας. Ἔοικε δ' οὐδὲν προὔργου τοῦτο εἶναι· καὶ γὰρ οὕτως αὐτῶν φανερῶς πεπραγμένων ὅμως ὑπὲρ τῆς θυγατρὸς τῆς Εὐπόλιδος ἥκουσι περὶ τῶν Ἀπολλοδώρου χρημάτων πρὸς ἐμὲ ἀμφισβητήσοντες. 3 Ἐγὼ δ' εἰ μὲν ἑώρων ὑμᾶς μᾶλλον ἀποδεχομένους τὰς διαμαρτυρίας ἢ τὰς εὐθυδικίας, κἂν μάρτυρας προὐβαλόμην μὴ ἐπίδικον εἶναι τὸν κλῆρον ὡς ποιησαμένου με ὑὸν Ἀπολλοδώρου κατὰ τοὺς νόμους· ἐπειδὴ δ' οὐ διαφεύγει τὰ δίκαια μὴ οὐ καὶ τοῦτον γιγνώσκεσθαι τὸν τρόπον [καὶ] παρ' ὑμῖν, αὐτὸς ἥκω διαλεξόμενος περὶ τῶν πεπραγμένων, ἵνα μηδεμίαν ἡμῖν αἰτίαν περὶ τοῦ μὴ βούλεσθαι δοῦναι δίκην τοιαύτην ἐπιφέρωσιν. 4 Ἀποδείξω δὲ ὡς οὐ μόνον ἐπὶ τοῖς ἐγγυτάτω γένους τὸν κλῆρον Ἀπολλόδωρος οὐ καταλέλοιπε, πολλὰ καὶ δεινὰ ὑπὸ τούτων ἀδικηθείς, ἀλλὰ καὶ ὡς ἐμὲ ἐποιήσατο δικαίως, ὄντα ἀδελφιδοῦν, καὶ μεγάλα

1 5 αὐτὸς A^2 : αὐτοῖς || 6–7 ταῦτ' ἐν Reiske : ταύτην || 3 3 μάρτυρας A : -ρα Buerm. || 5 καὶ Bek. : κατὰ || 6 καὶ secl. Dob. || ὑμῖν, αὐτὸς Dob. : ὑμῖν αὐτοῖς || 7 ἡμῖν Reiske : ὑμῖν || 4 4 μεγάλα Dob. : μέγα.

devait beaucoup à notre famille. Je vous demande, juges, à tous pareillement, de m'accorder votre bienveillance et, si je prouve que mes adversaires s'attaquent impudemment à cette succession, de m'aider à obtenir justice. Je ferai mon possible pour abréger mon discours, tout en prenant l'affaire à son origine pour vous éclairer.

5 Eupolis, Thrasyllos et Mnéson, juges, étaient frères de mère et de père. Leur père leur laissa une fortune considérable, en sorte que chacun d'eux fut tenu à s'acquitter des liturgies dans la cité. Cette fortune, ils se la partagèrent entre eux trois. Deux d'entre eux moururent vers la même époque, Mnéson ici même, célibataire et sans enfants, Thrasyllos en Sicile [1] où il se trouvait parmi les triérarques recrutés alors ; il laissait un fils, Apollodoros, celui qui m'a maintenant adopté. 6 Eupolis, resté donc seul survivant, ne se résigna pas à jouir modestement de sa fortune : alors que l'héritage de Mnéson revenait pour moitié à Apollodoros, il se l'adjugea en totalité en alléguant une donation de son frère [2] ; en outre, il administra de telle sorte les biens d'Apollodoros, son pupille, qu'il fut condamné à restituer trois talents. 7 Mon grand-père, Archédamos du dème d'Oion [3], lorsqu'il eut épousé la mère d'Apollodoros — c'est ma grand'mère — vit l'enfant dépouillé de sa fortune ; il le prit chez lui et, tant qu'il fut petit, le nourrit comme son propre fils [4] ; quand il eut l'âge d'homme, il l'assista en justice, poursuivit la restitution de la moitié de l'héritage de Mnéson et des biens détournés durant la tutelle ; il gagna deux procès et fit en sorte qu'Apollodoros recouvra toute sa fortune. 8 Aussi Eupolis et Apollodoros furent-ils toujours en mauvais termes, leur vie durant ; au contraire, entre mon grand-père et Apollodoros, il y avait

1. Dans l'expédition de 415-3.

2. On veut voir ici d'ordinaire l'exemple d'un testament sans adoption, car, dit-on, il n'est pas vraisemblable que Mnéson ait adopté son frère Eupolis. Pourtant rien n'empêchait l'adoption entre frères consanguins ; l'existence en est ailleurs supposée (VI, 44).

3. Le nom de dème est introduit par conjecture.

4. Le texte est douteux.

ηὐεργετημένος ὑφ᾽ ἡμῶν. Δέομαι δὲ ὑμῶν, ὦ ἄνδρες, πάντων ὁμοίως εὔνοιάν τέ μοι παρασχεῖν, κἂν ἐπὶ τὸν κλῆρον ἀναιδῶς αὐτοὺς ἰόντας ἐξελέγχω, βοηθεῖν μοι τὰ δίκαια. Ποιήσομαι δ᾽ ὡς ἂν κἀγὼ δύνωμαι διὰ βραχυτάτων τοὺς λόγους, ἐξ ἀρχῆς ὡς ἔχει τὰ γενόμενα διδάσκων ὑμᾶς.

5 Εὔπολις γάρ, ὦ ἄνδρες, καὶ Θράσυλλος καὶ Μνήσων ἀδελφοὶ ἦσαν ὁμομήτριοι καὶ ὁμοπάτριοι. Τούτοις οὐσίαν ὁ πατὴρ κατέλιπε πολλήν, ὥστε καὶ λητουργεῖν ἕκαστον ἀξιοῦσθαι παρ᾽ ὑμῖν. Ταύτην ἐκεῖνοι τρεῖς ὄντες ἐνείμαντο πρὸς ἀλλήλους. Τούτων τὼ δύο ἐτελευτησάτην περὶ τὸν αὐτὸν χρόνον, ὁ μὲν Μνήσων ἐνθάδε ἄγαμος καὶ ἄπαις, ὁ δὲ Θράσυλλος τῶν ἐν Σικελίᾳ καταλεγεὶς τριηράρχων, καταλιπὼν υἱὸν Ἀπολλόδωρον τὸν ἐμὲ νῦν ποιησάμενον. 6 Εὔπολις οὖν μόνος αὐτῶν λειφθεὶς οὐ μικρὰ || ἀπολαῦσαι τῶν χρημάτων ἠξίωσεν, ἀλλὰ τὸν μὲν Μνήσωνος κλῆρον, οὗ καὶ Ἀπολλοδώρῳ προσῆκε τὸ ἡμικλήριον, πάντα εἰς αὐτὸν περιεποίησε, φάσκων αὐτῷ δοῦναι τὸν ἀδελφόν, αὐτὸν δ᾽ ἐκεῖνον οὕτω διῴκησεν ἐπιτροπεύων ὥστε τριῶν αὐτῷ ταλάντων δίκην ὀφλεῖν. 7 Ἀρχέδαμος γὰρ ὁ πάππος οὑμὸς ⟨ὁ⟩ ἐξ Οἴου, τὴν μητέρα ἔχων τὴν Ἀπολλοδώρου, τήθην δὲ ἐμήν, ὁρῶν αὐτὸν πάντων ἀποστερούμενον τῶν χρημάτων, ἔτρεφέ τε αὐτὸν παῖδα ὄνθ᾽ ὡς ἑαυτοῦ [καὶ τὴν μητέρα] κομισάμενος, ἀνδρί τε γενομένῳ συνηγωνίσατο καὶ εἰσέπραξε τὸ ἡμικλήριον ὧν Μνήσων κατέλιπεν ὅσα τε ἐκ τῆς ἐπιτροπῆς ἀπεστέρησε, δίκας δύο ἑλών, καὶ τὴν οὐσίαν ἐποίησε κομίσασθαι τὴν αὐτοῦ πᾶσαν. 8 Καὶ διὰ ταῦτα Εὔπολις μὲν καὶ Ἀπολλόδωρος ἐχθρῶς ἔχοντες τὸν πάντα χρόνον διετέλεσαν πρὸς ἀλλήλους, ὁ δὲ πάππος οὑμὸς

8 δύνωμαι Ald. : δύναμαι || 5 5 τὼ δύο ἐτελευτησάτην Bek. : τῶν δυο** τελευτησάντων || 8 νῦν A : υἱόν Naber || 6 6 ὀφλεῖν Reiske : ὀφείλειν || 7 1 ἐξ Οἴου Schoem., probat Blass ὁ addito : ἐξ οὗ || 2 ἐμήν M Bek. : ἐμοὶ || 4 ἑαυτοῦ A : ἑαυτὸν Schoem. || καὶ τὴν μητέρα seclusi.

amitié ; c'était naturel. Les bons offices rendus à Apollodoros ne se peuvent mieux prouver que par ceux dont il crut devoir payer en retour ses bienfaiteurs. Mon grand-père eut des malheurs : il fut fait prisonnier à l'ennemi ; Apollodoros consentit à fournir une partie de la rançon et à servir d'otage jusqu'à ce que mon grand-père eut achevé de réunir les fonds. 9 Lorsque, de l'aisance, il fut tombé dans l'embarras, Apollodoros l'aida à remettre en état ses affaires en faisant bourse commune avec lui. Quand lui-même dut partir pour Corinthe en expédition [1], il disposa de sa fortune pour le cas de malheur et la légua à la fille d'Archédamos, ma mère et sa demi-sœur, en stipulant qu'elle épouserait Lakrateidès, l'actuel hiérophante [2]. Voilà comment il se conduisit envers nous parce que, tout d'abord, nous l'avions sauvé de la ruine. 10 Tout cela est la vérité : Eupolis a subi deux condamnations, l'une pour sa tutelle, l'autre pour le partage de la succession de Mnéson ; Apollodoros était assisté de mon grand-père qui a pris la parole ; il a recouvré sa fortune grâce à nous ; il nous a payé de retour, comme je l'ai dit ; c'est sur tous ces points d'abord que je veux produire des témoins devant vous : appelle les-moi ici.

Témoins

11 Voilà donc les services qu'il reçut de nous, leur nature et leur importance. D'autre part, les haines soulevées contre lui avaient pour origine de si grosses questions d'argent qu'il est impossible de prétendre qu'il y eut réconciliation et amitié. En voici de sérieux indices. Bien qu'Eupolis eût deux filles, qu'il fût du même sang qu'Apollodoros, qu'il le vît dans l'aisance, il ne lui en donna aucune en mariage. 12 Pourtant les alliances matrimoniales, selon l'opinion courante, réconcilient les individus, même ceux que n'unit

1. Entre 394 et 390.

2. Sans doute, par son testament, il adoptait sa sœur de mère et avait ainsi sur elle les droits d'un κύριος. — Lakrateidès le hiérophante (cf. p. 116, note 3) appartenait à la famille célèbre des Eumolpides.

καὶ Ἀπολλόδωρος φιλικῶς, ὥσπερ προσῆκε. Τοῖς δ' ἔργοις ἄν τις τεκμήραιτο μάλιστα ὅτι Ἀπολλόδωρος ἐπεπόνθει 8 ἀντευποιεῖν ἠξίου τοὺς ἑαυτὸν εὐεργετήσαντας. Συμφορᾷ γὰρ τοῦ πάππου χρησαμένου καὶ ληφθέντος εἰς τοὺς πολεμίους καὶ χρήματα εἰσενεγκεῖν εἰς λύτρα καὶ δμηρεῦσαι ὑπὲρ αὐτοῦ ἠθέλησεν, ἕως συνευπορήσειεν ἐκεῖνος τἀργύριον. 9 Ἐξ εὐπόρου τε ἀπορωτέρῳ γεγενημένῳ συνδιῴκει τὰ ἐκείνου, μεταδιδοὺς ὧν εἶχεν. Εἰς Κόρινθόν τε στρατεύεσθαι μέλλων, εἴ τι πάθοι, διέθετο τὴν οὐσίαν καὶ ἔδωκε τῇ ἐκείνου μὲν θυγατρί, ἐμῇ δὲ μητρί, αὐτοῦ δὲ ἀδελφῇ, διδοὺς αὐτὴν Λακρατείδῃ τῷ νῦν ἱεροφάντῃ γεγενημένῳ. Τοιοῦτος ἦν ἐκεῖνος περὶ ἡμᾶς τοὺς ἐξ ἀρχῆς αὐτὸν σώσαντας. 10 Ὡς δ' ἀληθῆ λέγω καὶ δίκας εἶλεν Εὔπολιν δύο, τὴν μὲν ἐπιτροπῆς, τὴν δὲ ἡμικληρίου, τοῦ πάππου συναγωνιζομένου καὶ λέγοντος, τά τε χρήματα ἐκομίσατο δι' ἡμᾶς καὶ ταύτας τὰς χάριτας ἡμῖν ἀνταπέδωκε, τούτων πρῶτον βούλομαι παρασχέσθαι τοὺς μάρτυρας. Καί μοι κάλει δεῦρο αὐτούς.

Μάρτυρες

12 Αἱ μὲν οὖν παρ' ἡμῶν εὐεργεσίαι τοιαῦται καὶ τηλικαῦται τὸ μέγεθός εἰσιν· αἱ δὲ πρὸς ἐκεῖνον ἔχθραι περὶ τοσούτων χρημάτων ἦσαν, ἃς οὐχ οἷόν τ' εἰπεῖν ὡς διελύσαντο καὶ φίλοι ἐγένοντο. Μεγάλα γὰρ τεκμήρια αὐτῶν ἐστιν· Εὔπολις γάρ, αὐτῷ δυοῖν θυγατέρων οὐσῶν καὶ ἐκ τῶν αὐτῶν αὐτῷ γεγονὼς καὶ χρήμαθ' ὁρῶν κεκτημένον, οὐδετέραν αὐτῷ τούτων ἔδωκε. 12 Καίτοι δοκοῦσιν ἐπιγαμίαι καὶ μὴ συγγενεῖς ἄνδρας, ἀλλὰ καὶ τοὺς

8 5 ἐπεπόνθει Thal. : πέπομφεν A πέπονθεν A^2 || ὅ A : fort. δι'ἃ Blass || 9 συνευπορήσειεν dubitanter Wyse Blass : οὓς (οὗ A^2) εὐπορήσειεν || 9 5 λακρατείδη A : -τ*ίδη A^1 || 10 3 συναγωνιζομένου Blass : συνηγωνισμένου.

aucune parenté, qui se connaissent par hasard et qui ont de graves différends, au moment où ils se confient ce qui leur tient le plus au cœur. Qu'Eupolis soit responsable pour n'avoir pas voulu donner sa fille ou Apollodoros pour l'avoir refusée, le fait a prouvé la persistance de leurs rancunes.

13 Je pense en avoir dit assez long sur cette inimitié ; je sais en effet que les plus âgés d'entre vous se rappellent les avoir vus aux prises. L'importance des procès, le montant considérable des dommages-intérêts obtenus par Archédamos ont donné à l'affaire quelque retentissement. Il faut montrer maintenant qu'Apollodoros m'a adopté de son vivant, m'a investi de ses biens, m'a fait inscrire dans son *génos* et sa phratrie : donnez-moi là-dessus votre attention, juges. **14** Apollodoros avait un fils qu'il élevait et dont il prenait grand soin, comme il était bien naturel. Tant qu'il vécut, il espérait en faire l'héritier de ses biens ; mais lorsqu'il fut mort de maladie, l'an passé, au mois de Maimaktérion [1], Apollodoros, abattu par sa présente infortune et considérant son âge avec amertume, songea à ceux dont il avait eu à se louer dès l'origine ; il vint trouver ma mère, qui était sa sœur et qu'il aimait par-dessus tout, lui dit son désir de m'adopter, la pria d'y consentir et réussit à la décider. **15** Il s'était si bien persuadé d'agir en toute hâte qu'il me prit avec lui sur-le-champ, m'emmena sans tarder chez lui et me remit le soin de toutes ses affaires, se jugeant désormais incapable de rien faire et m'estimant par contre capable de tout diriger. A l'époque des Thargélies [2], il me conduisit aux autels, et me présenta aux membres de son *génos* et de sa phratrie [3]. **16** Ces associations ont une règle uniforme : quand un homme leur présente un enfant né de lui ou adopté par lui, il doit jurer, en posant la main sur les victimes, que l'enfant qu'il

1. En Octobre-Novembre ; voir la notice, p. 127.

2. Fête célébrée le 6 et 7 Thargélion (Mai-Juin) : rien n'indique que l'introduction des nouveaux membres dans la phratrie n'ait eu lieu qu'à cette occasion.

3. Le *génos* se groupe en principe autour d'un ancêtre commun, qui fait défaut dans la phratrie.

τυχόντας ἀπαλλάττειν μεγάλης διαφορᾶς, ὅταν ἃ περὶ πλείστου ποιοῦνται, ταῦτ' ἀλλήλοις ἐγχειρίζωσιν. Εἶτ' οὖν Εὔπολις γεγένηται αἴτιος, ⟨δοῦναι⟩ μὴ βουληθείς, εἴτ' Ἀπολλόδωρος, λαβεῖν μὴ ἐθελήσας, τὰς ἔχθρας, ὅτι διέμειναν, τὸ ἔργον δεδήλωκε.

13 Καὶ περὶ μὲν τῆς ἐκείνων διαφορᾶς ἱκανοὺς εἶναι νομίζω καὶ τοὺς εἰρημένους λόγους· οἶδα γὰρ ὅτι καὶ ὑμῶν ὅσοι πρεσβύτεροι μνημονεύουσιν ὅτι ἐγένοντο ἀντίδικοι· τό τε γὰρ μέγεθος τῶν δικῶν, καὶ διότι πολὺ αὐτὸν Ἀρχέδαμος εἷλεν, περιφάνειάν τινα ἐποίησεν. Ὡς δὲ ἐμὲ ἐποιήσατο υἱὸν ζῶν αὐτὸς καὶ κύριον τῶν αὑτοῦ κατέστησε καὶ εἰς τοὺς γεννήτας καὶ εἰς τοὺς φράτερας ἐνέγραψε, τούτοις ἤδη μοι τὸν νοῦν προσέχετε, ὦ ἄνδρες. 14 Ἀπολλοδώρῳ γὰρ ἦν υἱός, ὃν ἐκεῖνος καὶ ἤσκει καὶ δι' ἐπιμελείας εἶχεν, ὥσπερ καὶ προσῆκον ἦν. Ἕως μὲν οὖν ἐκεῖνος ἔζη, διάδοχον τῆς οὐσίας ἤλπιζεν αὐτὸν καταστήσειν τῆς ἑαυτοῦ· ἐπειδὴ δὲ ἐτελεύτησε νοσήσας τοῦ ἐξελθόντος ἐνιαυτοῦ μηνὸς Μαιμακτηριῶνος, ἐπὶ τοῖς παροῦσιν ἀθυμήσας καὶ τὴν ἡλικίαν τὴν ἑαυτοῦ καταμεμψάμενος οὐκ ἐπελάθετο ὑφ' ὧν καὶ ἐξ ἀρχῆς εὖ πεπονθὼς ἦν, ἀλλ' ἐλθὼν ὡς τὴν ἐμὴν μητέρα, ἑαυτοῦ δὲ ἀδελφήν, ἣν περὶ πλείστου πάντων ἐποιεῖτο, λαβεῖν ἠξίωσέ με υἱὸν καὶ ᾔτησε καὶ ἔτυχεν. 15 Οὕτω δ' ἐπείσθη ταῦτα ποιῆσαι διὰ ταχέων ὥστ' εὐθέως με λαβὼν ᾤχετο ἔχων πρὸς αὐτὸν καὶ πάντα τὰ αὑτοῦ διοικεῖν παρέδωκεν, ὡς αὐτὸς μὲν ‖ οὐδὲν ἂν ἔτι πρᾶξαι τούτων δυνηθείς, ἐμοῦ δὲ ταῦτα πάντα οἷόν τε ἐσομένου ποιεῖν. Καὶ ἐπειδὴ Θαργήλια ἦν, ἤγαγέ με ἐπὶ τοὺς βωμοὺς εἰς τοὺς γεννήτας τε καὶ φράτερας. 16 Ἔστι δ' αὐτοῖς νόμος ὁ αὐτός, ἐάν τέ τινα φύσει γεγονότα εἰσάγῃ τις ἐάν τε ποιητόν, ἐπιτιθέναι πίστιν κατὰ τῶν ἱερῶν ἢ μὴν

12 4 ἐγχειρίζωσιν A^2: -ζουσιν ‖ 5 δοῦναι add. Hirschig ‖ 13 5 περιφάνειαν Dob.: ἐπιφ- ‖ 14 5 μαιμακτηριῶνος A^2: μεμακτ- ‖ 8 ὡς Reiske : εἰς ‖ 15 2 με* A ‖ 6 Θαργήλια Ald. : θαλγήλ*ια.

présente est né d'une citoyenne, mariée légitimement, aussi bien s'il s'agit de son propre enfant que d'un enfant adopté[1]. Quand le père a prêté ce serment, les autres membres n'en procèdent pas moins à un vote ; si la décision est favorable, on inscrit l'enfant sur le registre officiel, mais jamais avant le vote. Telles sont les formalités minutieuses qu'imposent les statuts de ces confréries. **17** Or, tel étant le règlement, les membres de la phratrie et du *génos*, parce qu'ils avaient toute confiance en Apollodoros et qu'ils me connaissaient comme fils de sa sœur, m'inscrivirent sur le registre après un vote unanime et après le serment prêté par Apollodoros sur les victimes. C'est ainsi que, de son vivant, j'ai été adopté par lui et inscrit au registre officiel sous le nom de Thrasyllos[2], fils d'Apollodoros, lequel Apollodoros m'a adopté selon cette voie, comme les lois l'y autorisaient. Pour preuve de ma véracité, prends-moi les témoignages.

Témoignages

18 Maintenant j'imagine, juges, que vous croirez davantage les témoins, si quelques parents du même degré que mes adversaires ont attesté manifestement par leur conduite la correction et la légalité de l'adoption faite par Apollodoros. Eupolis a laissé deux filles : celle qui revendique présentement la succession et qui est mariée avec Pronapès ; une autre, femme d'Aischinès de Lousia, qui est morte en laissant un fils, lequel est maintenant un homme, Thrasyboulos. **19** Or, aux termes de la loi, si un frère meurt sans enfants et intestat, la sœur consanguine et le neveu, né d'une autre sœur, sont successibles sur pied d'égalité. C'est un fait bien connu, même de mes adversaires, car leurs actes l'ont prouvé à l'évidence. Quand le fils d'Eupolis, qui s'appelait aussi Apollodoros, mourut sans enfants, Thrasyboulos recueillit la

1. L'introduction du fils adoptif dans la phratrie était calquée sur celle du fils par le sang.

2. Il est possible que le défendeur ait pris à ce moment seulement le nom de Thrasyllos, qui est celui de son grand-père par adoption.

ἐξ ἀστῆς εἰσάγειν καὶ γεγονότα ὀρθῶς καὶ τὸν ὑπάρχοντα φύσει καὶ τὸν ποιητόν· ποιήσαντος δὲ τοῦ εἰσάγοντος ταῦτα μηδὲν ἧττον διαψηφίζεσθαι καὶ τοὺς ἄλλους, κἂν δόξῃ, τότ' εἰς τὸ κοινὸν γραμματεῖον ἐγγράφειν, πρότερον δὲ μή· τοιαύτας ἀκριβείας ἔχει τὰ δίκαια τὰ παρ' αὐτοῖς. 17 Τοῦ νόμου δὴ οὕτως ἔχοντος καὶ τῶν φρατέρων τε καὶ γεννητῶν ἐκείνῳ ⟨τε⟩ οὐκ ἀπιστούντων ἐμέ τε οὐκ ἀγνοούντων ὅτι ἦν ἐξ ἀδελφῆς αὐτῷ γεγονώς, ἐγγράφουσί με εἰς τὸ κοινὸν γραμματεῖον ψηφισάμενοι πάντες, ἐπιθέντος ἐκείνου τὴν πίστιν καθ' ἱερῶν. Καὶ οὕτω μὲν ὑπὸ ζῶντος ἐποιήθην καὶ εἰς τὸ κοινὸν γραμματεῖον ἐνεγράφην Θράσυλλος Ἀπολλοδώρου, ποιησαμένου με ἐκείνου τοῦτον τὸν τρόπον, τῶν νόμων αὐτῷ δεδωκότων. Ὡς δ' ἀληθῆ λέγω, λαβέ μοι τὰς μαρτυρίας.

Μαρτυρίαι

18 Οἶμαι τοίνυν, ὦ ἄνδρες, μᾶλλον ἂν ὑμᾶς τοῖς μεμαρτυρηκόσι πιστεύειν εἰ καί τινες τῶν ὁμοίως προσηκόντων ἔργοις φανερῶς μεμαρτυρήκασιν ὡς ἐκεῖνος ταῦτα ὀρθῶς καὶ κατὰ τοὺς νόμους ἔπραξε. Κατέλιπε γὰρ Εὔπολις θυγατέρας δύο, ταύτην τε ἣ νῦν ἀμφισβητεῖ καὶ Προνάπει συνοικεῖ, καὶ ἄλλην ἣν ἔσχεν Αἰσχίνης ὁ Λουσιεύς, ἣ τετελεύτηκεν ὃν ἄνδρα ἤδη καταλιποῦσα, Θρασύβουλον. 19 Ἔστι δὲ νόμος ⟨ὅς⟩, ἐὰν ἀδελφὸς ὁμοπάτωρ ἄπαις τελευτήσῃ καὶ μὴ διαθέμενος, τήν τε ἀδελφὴν ὁμοίως, κἂν ἐξ ἑτέρας ἀδελφιδοῦς ᾖ γεγονώς, ἰσομοίρους τῶν χρημάτων καθίστησι. Καὶ τοῦτο οὐκ ἀγνοούμενόν ἐστιν οὐδὲ παρ' αὐτοῖς τούτοις· ἔργῳ γὰρ οὗτοι φανερὸν τοῦτο πεποιήκασι· τοῦ γὰρ Εὐπόλιδος υἱέος ἄπαιδος Ἀπολλοδώρου τελευτήσαντος τὰ ἡμίσεα Θρασύ-

17 1 δὴ Bek. : διὸ || 2 τε add. Fuhr Blass || 18 2 εἰ καί τινες Bek. : καὶ οἵτινες A ὅσῳ καί τινες Buerm. || 19 1 ὃς add. Ald.

moitié d'une succession qu'on peut facilement évaluer à cinq talents. 20 Ainsi donc, pour les biens du père et du frère, la loi institue un partage égal; mais, s'il s'agit d'un cousin germain ou de tout autre parent plus éloigné, il n'y a plus égalité ; la loi donne le pas, dans la successibilité naturelle, aux mâles sur les femmes. Elle déclare en effet : « Les mâles et les descendants de mâles, s'ils sont de même souche, ont la préférence sur les femmes, même s'ils sont plus éloignés de la souche commune ». Ainsi, cette femme ne pourrait même pas prétendre à une part, mais Thrasyboulos devrait revendiquer la totalité de la succession, s'il ne considérait pas mon adoption comme valable[1]. 21 Or lui, dès le début, n'a soulevé aucune contestation contre moi ; maintenant encore il n'a introduit aucune action ; mais il a convenu que tout s'était passé régulièrement. Et les autres ont eu l'audace de réclamer pour cette femme toute la succession : telle est leur impudence. Prends-moi donc les articles de la loi à l'encontre desquels ont agi mes adversaires et lis-les[2].

Article de loi

22 En ce cas, la sœur et le neveu ont part égale, d'après cet article. Prends cet article et lis-le aux juges.

⟨Article de loi⟩

A défaut de cousins germains et d'enfants de cousins germains et de parents du côté paternel, la loi attribue l'héritage aux parents du côté maternel, en spécifiant l'ordre de successibilité. Prends encore cet article et lis-le.

Article de loi

23 Telle étant la législation, l'un, l'homme, n'a même

1. Voir la notice, p. 126.

2. La lecture de la loi est morcelée, et l'on peut soupçonner que l'ordre des articles est modifié à dessein.

βουλος εἴληφεν οὐσίας καὶ πεντεταλάντου καταλειφθείσης ῥᾳδίως. 20 Πατρῴων μὲν οὖν καὶ ἀδελφοῦ χρημάτων τὸ ἴσον αὐτοῖς ὁ νόμος μετασχεῖν δίδωσιν· ἀνεψιοῦ δέ, καὶ εἴ τις ἔξω ταύτης τῆς συγγενείας ἐστίν, οὐκ ἴσον, ἀλλὰ προτέροις τοῖς ἄρρεσιν τῶν θηλειῶν τὴν ἀγχιστείαν πεποίηκε. Λέγει γάρ « κρατεῖν δὲ τοὺς ἄρρενας καὶ τοὺς ἐκ τῶν ἀρρένων, οἳ ἂν ἐκ τῶν αὐτῶν ὦσι, κἂν γένει ἀπωτέρω τυγχάνωσιν ὄντες. » Ταύτῃ μὲν οὖν οὐδὲ μέρους λαχεῖν προσῆκε, Θρασυβούλῳ δὲ ἁπάντων, εἰ μὴ κυρίαν ἡγεῖτο εἶναι τὴν ἐμὴν εἰσποίησιν. 21 Ἐκεῖνος τοίνυν οὔτε ἐξ ἀρχῆς ἠμφεσβήτηκε πρὸς ἐμὲ οὐδὲν οὔτε νῦν δίκην εἴληχε περὶ αὐτῶν, ἀλλὰ ταῦτα πάντα καλῶς ἔχειν ὡμολόγηκεν· οἱ δ' ὑπὲρ ταύτης πάντων ἀμφισβητεῖν τετολμήκασιν· εἰς τοῦτο ἀναιδείας ἐληλύθασι. Λαβὲ δὴ αὐτοῖς τοὺς νόμους, παρ' οὓς ταῦτα πεποιήκασι, καὶ ἀνάγνωθι.

Νόμος

22 Ἐνταῦθα μὲν ὁμοίως καὶ ἀδελφὴ καὶ ἀδελφιδοῦς ἰσόμοιροι κατὰ τὸν νόμον εἰσίν. Λαβὲ δὴ καὶ τοῦτον καὶ ἀναγίγνωσκε αὐτοῖς.

⟨Νόμος⟩

Ἐὰν μὴ ὦσιν ἀνεψιοὶ μηδὲ ἀνεψιῶν παῖδες μηδὲ τοῦ πρὸς πατρὸς γένους ᾖ προσήκων μηδείς, τότε ἀπέδωκε τοῖς πρὸς μητρός, διορίσας οὓς δεῖ κρατεῖν. Λαβὲ δὲ αὐτοῖς καὶ τοῦτον τὸν νόμον καὶ ἀνάγνωθι.

Νόμος

23 Ταῦτα τῶν νόμων κελευόντων, ὁ μέν, ἀνὴρ ὤν, οὐδὲ

20 7 τυγχάνωσιν A^2 : -νο*σιν || οὐδὲ Ald. : οὐδὲν || 21 8 νόμος Ald. : νόμοι || 22 4 νόμος add. Ald. || 6 γένους Dob. : γενομένου.

pas réclamé une part, les autres, au nom de celle-ci, d'une femme, réclament le tout. Tant ils sont persuadés qu'à perdre la pudeur on ne perd rien[1]. Voici le genre d'arguments dont ils usent : ils ont droit, disent-ils, à toute la succession parce que Thrasyboulos est sorti de la famille pour entrer par adoption dans la maison d'Hippolochidès. Il y a là une part de vérité, une part d'inexactitude. **24** En quoi en effet le lien de parenté dont il s'agit est-il affaibli ? Ce n'est pas du chef de son père, mais de celui de sa mère qu'il a recueilli une part de l'héritage d'Apollodoros, le fils d'Eupolis. De même pour cette succession ; c'est au titre maternel qu'il pourrait la réclamer, de préférence à cette femme, s'il jugeait irrégulier l'acte d'adoption. Mais il est homme d'honneur. **25** L'adoption ne détache pas l'enfant de la mère : elle reste toujours la mère, soit que l'enfant demeure dans la maison paternelle, soit que l'adoption l'en fasse sortir[2]. C'est pourquoi Thrasyboulos n'a pas été privé de sa part dans la succession d'Apollodoros (le fils d'Eupolis) ; mais il en a recueilli la moitié, de part égale avec cette femme. Pour preuve que je dis vrai, appelle-moi les témoins de ces faits.

Témoins

26 Ainsi, ce ne sont pas seulement les membres du *génos* et de la phratrie qui ont attesté mon adoption ; mais Thrasyboulos en personne, pour n'avoir élevé aucune revendication, a prouvé par le fait qu'il considérait l'acte accompli par Apollodoros comme valable et légal ; sinon en effet, il ne se serait jamais abstenu de réclamer une telle succession. Toutefois j'ai encore d'autres témoins de ces faits. **27** Avant mon retour des fêtes de la Pythaïde[3], Apollodoros déclara aux gens du

1. A la suite, une phrase mutilée.

2. Le fils adoptif perd tous ses droits dans la famille de son père primitif ; il reste uni à sa mère, et par suite il est habile à hériter des parents de sa mère.

3. La *Pythaïde* était célébrée à Delphes vers Mai-Juin par les Athéniens, indépendamment de toutes les autres fêtes delphiques ; cf. *Revue des Études grecques*, XXXIII, 1920, p. 100 et suiv.

μέρους εἴληχεν, οἱ δ' ὑπὲρ ταύτης, τῆς γυναικός, ἁπάντων· οὕτω τὴν ἀναίδειαν οὐδεμίαν ζημίαν εἶναι νομίζουσι. Καὶ ὑπὲρ τούτων τολμήσουσι.... καὶ τοῖς λόγοις χρῶνται τοιούτοις, ὡς αὐτοῖς ὅλου τοῦ κλήρου ληκτέον, ὅτι Θρασύβουλος ἐκποίητος εἰς τὸν οἶκον τὸν Ἱππολοχίδου γέγονε, λέγοντές τοῦτο μὲν ἀληθές, ἐκεῖνο δ' οὐ προσῆκον· 24 τί γὰρ ἧττον αὐτῷ τῆς συγγενείας ταύτης προσῆκεν; Οὐ γὰρ κατὰ τὸν πατέρα, ἀλλὰ κατὰ τὴν μητέρα καὶ τῶν Ἀπολλοδώρου τοῦ Εὐπόλιδος υἱέος τὸ μέρος εἴληφε· καὶ τῶνδε ἐξῆν αὐτῷ || κατὰ ταύτην τὴν συγγένειαν λαγχάνειν, ὄντι προτέρῳ ταύτης, εἴπερ τὰ πεπραγμένα μὴ κυρίως ἔχειν ἐνόμιζεν. Ἀλλ' οὐκ ἔστιν ἀναίσχυντος. 25 Μητρὸς δ' οὐδείς ἐστιν ἐκποίητος, ἀλλ' ὁμοίως ὑπάρχει τὴν αὐτὴν εἶναι μητέρα, κἂν ἐν τῷ πατρῴῳ μένῃ τις οἴκῳ κἂν ἐκποιηθῇ. Δι' ὃ τῶν Ἀπολλοδώρου χρημάτων οὐκ ἀπεστερήθη τοῦ μέρους, ἀλλὰ μετειλήφει τὸ ἡμικλήριον πρὸς ταύτην νειμάμενος. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

Μάρτυρες

26 Οὕτως μὲν οὐχ οἱ γεννῆται μόνον καὶ φράτερες γεγόνασι μάρτυρες τῆς ἐμῆς ποιήσεως, ἀλλὰ καὶ Θρασύβουλος ⟨οὐκ⟩ ἀμφισβητῶν αὐτὸς ἔργῳ δεδήλωκεν ὅτι τὰ πεπραγμένα Ἀπολλοδώρῳ κυρίως ἔχειν νομίζει καὶ κατὰ τοὺς νόμους· οὐ γὰρ ἄν ποτε τοσούτων χρημάτων οὐκ ἐλάγχανε. Γεγόνασι δὲ ὅμως καὶ ἄλλοι μάρτυρες αὐτῶν. 27 Πρὶν γὰρ ἐμὲ ἥκειν ἐκ τῆς Πυθαίδος, ἔλεγε πρὸς

23 2 μέρους Dob. : τὸ μέρος || 4 καὶ ὑπὲρ τούτων τολμήσουσιν secl. Dob. : lacunam inter τούτων et τολμήσουσιν sign. Reiske qui ἅπαντα vel ὁτιοῦν suppl., τι λέγειν Buerm. ψεύδεσθαι dubitanter Thal. || 7 τοῦτο A^2 : ἐκεῖνο(?) || 25 4 ἐκποιηθῇ Bek. : -θείη || 26 3 οὐκ add. A^2 in rasura || αὐτὸς Buerm. : αὐτῷ || 6 αὐτῶν Scheibe : αὐτῷ || 27 1 Πυθαίδος recte habet A.

dème qu'il m'avait adopté et fait inscrire dans le *génos* et la phratrie, qu'il m'instituait son héritier et il leur recommanda, s'il lui arrivait auparavant malheur, de m'inscrire dans le registre du dème sous le nom de Thrasyllos, fils d'Apollodoros, et de n'y point manquer. 28 Et eux, qui entendirent ces recommandations, quand, dans l'assemblée électorale du dème[1], mes adversaires me prirent à partie et prétendirent qu'Apollodoros ne m'avait pas adopté, ils décidèrent d'après ce qu'ils entendirent et ce qu'ils savaient, et, après avoir prêté serment sur les victimes, ils m'inscrivirent conformément aux injonctions d'Apollodoros : tant le fait de mon adoption était de notoriété auprès d'eux. Pour prouver que je dis vrai, appelle-moi les témoins de ces faits.

Témoins

29 C'est devant tous ces témoins qu'a eu lieu mon adoption, juges ; rappelez-vous aussi la vieille haine d'Apollodoros contre ces gens, sa très grande amitié pour nous, en plus des liens de parenté. Mais si, des deux côtés, la situation avait été différente, si Apollodoros n'avait eu ni haine contre eux ni amitié pour nous, il ne leur eût pourtant pas laissé ses biens : il me sera aisé, je crois, de vous le prouver aussi. 30 Tous les hommes, à l'article de la mort, prennent des mesures de prévoyance dans leur intérêt propre, afin que leur maison ne soit pas livrée à l'abandon, mais qu'il reste après eux quelqu'un pour accomplir les sacrifices funèbres et tous les rites dus aux défunts. Aussi ceux qui n'ont pas d'enfants au moment de leur mort en adoptent-ils du moins pour les laisser après eux. Non seulement chaque particulier règle ainsi ses propres affaires, mais l'État a pris à ce sujet des mesures générales[2] : en effet une loi institue l'archonte gardien des maisons fami-

1. L'inscription des nouveaux citoyens avait lieu à l'assemblée où le dème élisait ses magistrats, au début de l'année attique.

2. Isée, semble-t-il, donne une interprétation abusive d'une loi signifiant seulement que l'archonte devait veiller à la dévolution régulière des successions.

τοὺς δημότας Ἀπολλόδωρος ὅτι πεποιημένος εἴη με ὑὸν καὶ ἐγγεγραφὼς εἰς τοὺς συγγενεῖς καὶ φράτερας καὶ παραδεδώκοι τὴν οὐσίαν, καὶ διεκελεύεθ' ὅπως, ἐάν τι πάθῃ πρότερον, ἐγγράψουσί με εἰς τὸ ληξιαρχικὸν γραμματεῖον Θράσυλλον Ἀπολλοδώρου καὶ μὴ ὡς ἄλλως ποιήσουσι. **28** Κἀκεῖνοι ταῦτα ἀκούσαντες, τούτων ἐν ἀρχαιρεσίαις κατηγορούντων καὶ λεγόντων ὡς ⟨οὐκ⟩ ἐποιήσατό με ὑόν, καὶ ἐξ ὧν ἤκουσαν καὶ ἐξ ὧν ᾔδεσαν, ὀμόσαντες καθ' ἱερῶν ἐνέγραψάν με, καθάπερ ἐκεῖνος ἐκέλευε· τοσαύτη περιφάνεια τῆς ἐμῆς ποιήσεως ἐγένετο παρ' αὐτοῖς. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

Μάρτυρες

29 Ἐπὶ μὲν τοσούτων μαρτύρων, ὦ ἄνδρες, γέγονεν ἡ ποίησις, ἔχθρας μὲν παλαιᾶς αὐτῷ πρὸς τούτους οὔσης, φιλίας δὲ πρὸς ἡμᾶς καὶ συγγενείας οὐ μικρᾶς ὑπαρχούσης. Ὡς δ' οὐδ' εἰ μηθέτερον τούτων ὑπῆρχε, μήτε ἔχθρα πρὸς τούτους μήτε φιλία πρὸς ἡμᾶς, οὐκ ἄν ποτε Ἀπολλόδωρος ἐπὶ τούτοις τὸν κλῆρον τοῦτον κατέλιπεν, οἶμαι καὶ ταῦθ' ὑμῖν ῥᾳδίως ἐπιδείξειν. **30** Πάντες γὰρ οἱ τελευτήσειν μέλλοντες πρόνοιαν ποιοῦνται σφῶν αὐτῶν, ὅπως μὴ ἐξερημώσουσι τοὺς σφετέρους αὐτῶν οἴκους, ἀλλ' ἔσται τις [καὶ] ὁ ἐναγιῶν καὶ πάντα τὰ νομιζόμενα αὐτοῖς ποιήσων· δι' ὃ κἂν ἄπαιδες τελευτήσωσιν, ἀλλ' οὖν ποιησάμενοι καταλείπουσι. Καὶ οὐ μόνον ἰδίᾳ ταῦτα γιγνώσκουσιν, ἀλλὰ καὶ δημοσίᾳ τὸ κοινὸν τῆς πόλεως οὕτω ταῦτ' ἔγνωκε· νόμῳ γὰρ τῷ ἄρχοντι τῶν οἴκων, ὅπως ἂν μὴ

4 παραδεδώκοι A : -ει A^1 || 5 πάθῃ Schaefer : πάθοι || ἐγγράψουσι Dob. : -άφουσι A -φωσι A^2 || 6 ποιήσουσι Dob. : -σωσι || **28** 2 οὐκ add. A^2 || **29** 3 συγγενείας A : εὐμενείας Scheibe || 4 μηθέτερον A^2 Blass : μήθ' ⁎τερον || **30** 3 ἐξερημώσουσι A : -σωσι A^1 || 4 καὶ secl. Buerm. : τις ὁ καὶ fort. Thal.

liales afin qu'elles ne soient pas désertées. 31 Or il était clair pour Apollodoros que, s'il laissait à ces gens sa succession, il condamnait sa maison à l'abandon? Qu'avait-il sous les yeux? Des sœurs recueillant l'héritage d'Apollodoros leur frère et ne lui donnant en adoption posthume aucun des enfants qu'elles avaient ; leurs maris vendant le domaine laissé par lui et tous ses biens pour cinq talents et se partageant l'argent ; une maison enfin laissée honteusement et scandaleusement à l'abandon. 32 Et lui, qui savait comme on avait agi vis-à-vis d'un frère, comment eût-il pu présumer en ce qui le concernait, même si l'amitié avait régné entre eux, qu'il obtiendrait de ces gens l'accomplissement des devoirs rituels, alors qu'il était le cousin et non le frère de ces femmes? Non, il ne pouvait l'espérer assurément! Eh bien, je vais prouver qu'elles ont vu avec indifférence leur frère privé d'enfant, qu'elles détiennent sa fortune, qu'elles ont laissé disparaître une maison qui, tous le savent, supportait les charges de la triérarchie ; appelle-moi les témoins.

Témoins

33 Puisque mes adversaires montrent de telles dispositions dans leurs rapports entre eux, et qu'en outre ils avaient contre Apollodoros, celui qui m'a adopté, de si graves ressentiments, pouvait-il prendre un meilleur parti que celui qu'il s'est décidé à suivre? Eût-il dû choisir un tout jeune enfant chez quelqu'un de ses amis, l'adopter et lui donner ses biens? Mais les parents eux-mêmes n'auraient pu prévoir s'il tournerait bien ou ne donnerait rien de bon, en raison de l'âge. 34 Pour moi, il me connaissait par expérience et avait pu me juger à l'épreuve. Vis-à-vis de mon père et de ma mère, il avait bien vu ma conduite, mes attentions à l'égard des membres de ma famille, ma capacité à gérer mes affaires. Dans l'exercice d'une fonction publique, celle de thesmothète, je n'avais montré ni injustice ni avidité : il le savait fort bien. Ce n'était donc pas à l'aveugle, mais en connaissance de cause qu'il me faisait maître de ses biens. 35 En outre, je n'étais

ἐξερημῶνται, προστάττει τὴν ἐπιμέλε αν. 31 Ἐκείνῳ δὲ πρόδηλον ἦν ὅτι εἰ καταλείψει τὸν κλῆρον ἐπὶ τουτοις, ἔρημον ποιήσει τὸν οἶκον. Τί προορῶντι; Ταύτας τὰς ἀδελφὰς τὸν μὲν Ἀπολλοδώρου τοῦ ἀδελφοῦ κλῆρον ἐχούσας, ἐκείνῳ δ' οὐκ εἰσποιούσας ὄντων αὐταῖς παίδων, καὶ τοὺς μὲν ἄνδρας αὐτῶν τὴν γῆν, ἣν ἐκεῖνος κατέλιπε, καὶ τὰ κτήματα πέντε ταλάντων πεπρακότας καὶ τὸ ἀργύριον διανειμαμένους, τὸν δὲ οἶκον αἰσχρῶς οὕτως καὶ δεινῶς ἐξηρημωμένον. 32 Ὃς δὴ ταῦτ' ᾔδει τὸν τούτων ἀδελφὸν πεπονθότα, πῶς ἂν προσεδόκησεν αὐτός, εἰ καὶ φίλος ἦν, τυχεῖν τῶν νομιζομένων ὑπ' αὐτῶν, ἀνεψιὸς ὤν, ἀλλ' οὐκ ἀδελφὸς αὐταῖς; Οὐκ ἐνῆν ἐλπίσαι δήπουθεν. Ἀλλὰ μὴν ὅτι ἄπαιδα ἐκεῖνον περιεωράκασι καὶ τὰ χρήματα ἔχουσι καὶ οἶκον ἐκ τοῦ φανεροῦ τριηραρχοῦντα ἀνῃρήκασι, κάλει μοι καὶ τούτων τοὺς μάρτυρας.

Μάρτυρες

33 Εἰ τοίνυν καὶ τοιοῦτοι τὰς φύσεις περὶ ἀλλήλους εἰσὶ καὶ ἔχθραι πρὸς Ἀπολλόδωρον τὸν ἐμὲ ποιησάμενον ὑπῆρχον αὐτοῖς τηλικαῦται τὸ μέγεθος, τί βέλτιον ἂν ἔπραξεν ἢ ταῦτα βουλευσάμενος ἅ περ ἐποίησεν; Εἰ νὴ Δία παιδίον ἐποιήσατο λαβὼν παρά του τῶν φίλων ὄντων, καὶ τούτῳ τὴν οὐσίαν ἔδωκεν; Ἀλλὰ [καὶ] τοῦτ' ἦν ἄδηλον καὶ τοῖς γεννήσασιν, εἴτε σπουδαῖον εἴτε μηδενὸς ἄξιον ἔμελλεν ἔσεσθαι, διὰ τὴν ἡλικίαν· 34 ἐμοῦ δὲ πεῖραν εἰλήφει, δοκιμασίαν ἱκανὴν λαβών. Εἴς τε γὰρ τὸν πατέρα καὶ τὴν μητέρα ‖ οἷος ἦν ἀκριβῶς ᾔδει, τῶν τ' οἰκείων ἐπιμελῆ καὶ τἀμαυτοῦ πράττειν ἐπιστάμενον· ἐν ἀρχῇ τε, θεσμοθετήσας, ὡς ἐγενόμην οὐκ ἄδικος οὐδὲ πλεονέκτης, ἠπίστατο σαφῶς· ὥστ' οὐκ ἀγνοῶν, ἀλλὰ σαφῶς εἰδὼς ἐποίει με τῶν αὐτοῦ κύριον. 35 Καὶ

33 3 αὐτοῖς Reiske: αὐταῖς ‖ 4 εἰ A: ἢ A^1 ‖ 6 καὶ secl. Dobree ‖ 34 2 εἴστε A^2: ἴστε.

pas un étranger, mais son propre neveu; les services que nous lui avions rendus n'étaient pas minces, mais fort considérables; je n'étais pas un homme avare envers l'État, capable de dissimuler mon avoir comme mes adversaires ont fait leur héritage, mais bien résolu à remplir mon devoir de triérarque et de chorège, à m'acquitter de toutes mes obligations envers vous, selon l'exemple du défunt. **36** Puis donc que j'étais pour lui un parent, un ami, un bienfaiteur, un citoyen généreux, un homme sûr, viendra-t-on contester qu'il ait eu toute sa raison lorsqu'il m'adopta? Pour moi, en une occasion déjà, j'ai manifesté ce mérite qu'il avait reconnu en moi: gymnasiarque aux fêtes de Prométhée[1] cette année même, j'ai montré une libéralité que savent tous les membres de la tribu. Pour preuve que je dis vrai, appelle-moi les témoins de ces faits.

Témoins

37 Nos droits, sur lesquels nous nous appuyons pour revendiquer la succession, les voilà, juges. Nous vous prions de nous assister en considération d'Apollodoros, en considération de son père; car vous constaterez qu'ils n'ont pas été des citoyens inutiles, mais, plus que quiconque, ardents à vous servir. **38** Le père a supporté toutes les autres liturgies, et en outre, sa vie durant, il a été triérarque non point en équipant un navire avec le concours d'un groupe de contribuables[2], selon l'usage actuel, mais à ses propres frais, non point avec l'assistance d'un second triérarque, mais à lui seul, non point avec un intervalle de repos de deux ans, mais sans interruption, non point comme s'il s'acquittait d'une corvée, mais de son mieux. En récompense de ses services, vous lui avez accordé des honneurs, parce que vous gardiez le souvenir

1. La fête avait lieu sans doute en automne; cf. p. 47, note 2.

2. Allusion au système institué en 357/6 et dit des *symmories*: un groupe de citoyens a désormais l'entretien d'une trirème, ce qui allégeait les frais, sans les réduire à rien, comme Isée le laisse entendre.

μὴν οὐδὲ ἀλλότριον, ἀλλ᾽ ὄντα ἀδελφιδοῦν, οὐδ᾽ αὖ μικρὰ πεπονθώς, ἀλλὰ μεγάλα ἀγαθὰ ὑφ᾽ ἡμῶν, οὐδ᾽ αὖ ἀφιλότιμον, ὃς τὰ ὄντα ἀφανιεῖν ἔμελλον ὥσπερ οὗτοι τὰ τοῦ κλήρου πεποιήκασιν, ἀλλὰ βουλησόμενον καὶ τριηραρχεῖν [καὶ πολεμεῖν] καὶ χορηγεῖν καὶ πάνθ᾽ ὑμῖν τὰ προστατόμενα ποιεῖν, ὥσπερ κἀκεῖνος. 36 Καίτοι εἰ καὶ συγγενὴς καὶ φίλος καὶ εὐεργέτης καὶ φιλότιμος καὶ δεδοκιμασμένος ὑπῆρχον τοιοῦτος εἶναι, τίς ⟨ἂν⟩ ἀμφισβητήσειε μὴ οὐκ ἀνδρὸς εὖ φρονοῦντος εἶναι ταύτην τὴν ποίησιν; Ἐγὼ τοίνυν ἔν γε τῶν ὑπ᾽ ἐκείνου δοκιμασθέντων ἤδη πεποίηκα· γεγυμνασιάρχηκα γὰρ εἰς Προμήθια τοῦδε τοῦ ἐνιαυτοῦ φιλοτίμως, ὡς οἱ φυλέται πάντες ἴσασιν. Ὡς δ᾽ ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

Μάρτυρες

37 Τὰ μὲν ἡμέτερα δίκαια, καθ᾽ ἃ προσηκόντως ἔχειν φαμὲν τὸν κλῆρον, ταῦτ᾽ ἐστίν, ὦ ἄνδρες· δεόμεθα δ᾽ ὑμῶν βοηθεῖν ἡμῖν καὶ ἕνεκα Ἀπολλοδώρου καὶ ἕνεκα τοῦ ἐκείνου πατρός· οὐ γὰρ ἀχρήστους αὐτοὺς εὑρήσετε πολίτας, ἀλλ᾽ ὡς οἷόν τ᾽ εἰς τὰ ὑμέτερα προθυμοτάτους. 38 Ὁ μὲν γὰρ πατὴρ αὐτοῦ τάς τε ἄλλας ἁπάσας λητουργίας λελητούργηκε καὶ τριηραρχῶν τὸν πάντα χρόνον διετέλεσεν, οὐκ ἐκ συμμορίας τὴν ναῦν παρασκευαζόμενος ὥσπερ οἱ νῦν, ἀλλ᾽ ἐκ τῶν αὐτοῦ δαπανῶν, οὐδὲ δεύτερος αὐτὸς ὤν, ἀλλὰ κατὰ μόνας, οὐδὲ δύο ἔτη διαλιπών, ἀλλὰ συνεχῶς, οὐδ᾽ ἀφοσιούμενος, ἀλλ᾽ ὡς οἷόν τ᾽ ἄριστα [παρασκευαζόμενος]. Ἀνθ᾽ ὧν ὑμεῖς κἀκεῖνον ἐτιμᾶτε, μεμνημένοι τούτων τῶν ἔργων, καὶ τὸν

35 4 ἀφανιεῖν Cobet: ἀφιέναι || 6 καὶ πολεμεῖν secl. Buerm.: καὶ εἰσφέρειν Herwerden || 36 3 ἂν add. Bek. || 6 Προμήθιὰ Fuhr Blass: προμήθειαν || 37 5 προθυμοτάτους Steph.: -τέρους || 38 3-4 παρασκευαζόμενος Herwerden: ποιησάμενος A πληρωσάμενος; fort. Thal. || 7 παρασκευάζομενος secl. Herwerden.

de sa conduite et, quand son fils fut dépouillé de ses biens, vous l'avez tiré d'affaire ; vous avez obligé ceux qui les détenaient à la restitution. 39 Apollodoros, de son côté, n'a pas, comme Pronapès, déclaré un très faible avoir, mais, en tant que payant le cens de chevalier, il a tenu à remplir les magistratures. Il ne cherchait pas à s'approprier par la violence le bien d'autrui, tout en jugeant qu'il ne vous devait aucun service, mais sa fortune était au grand jour ; il s'acquittait avec libéralité de toutes les charges que vous lui imposiez ; sans faire tort à autrui, il cherchait à vivre honorablement de son avoir et jugeait bon de réduire ses dépenses personnelles pour réserver le surplus à l'État afin de pouvoir suffire aux dépenses civiques. 40 En vertu de ces principes, de quelle liturgie ne s'est-il pas acquitté au mieux? Quelle contribution de guerre n'a-t-il pas payée dans les premiers? Est-il un devoir qu'il ait négligé parmi ceux qui lui incombaient? Chorège d'un chœur d'enfants, il a remporté la victoire et, monument de sa libéralité, se dresse le trépied fameux qu'il a érigé. Or, quels sont donc les devoirs d'un honnête citoyen? N'est-ce pas, quand d'autres essaient par force de mettre la main sur ce qui ne leur appartient pas, de ne les point imiter, mais de tâcher seulement à sauvegarder son bien? Quand la ville a besoin d'argent, d'être parmi les premiers à lui en fournir et de ne rien dissimuler de sa fortune? 41 Telle fut la conduite du défunt. En récompense, il serait juste de votre part de lui témoigner votre reconnaissance en ratifiant la volonté qu'il a exprimée relativement à ses biens. Quant à moi, dans la mesure où mon âge me le permet, vous trouvez en moi un bon citoyen, un citoyen utile: j'ai fait campagne pour la défense de la cité, j'accomplis mes devoirs ; c'est la tâche propre aux gens de mon âge. 42 Donc, en considération des hommes dont je viens de parler et de nous-mêmes, il serait juste de vous montrer bienveillant, d'autant plus que mes adversaires, mis en possession d'un bien familial suffisant à la triérarchie, estimé à cinq talents, l'ont fait disparaître, vendu, livré à l'abandon, que nous au contraire, nous avons déjà supporté des liturgies et que nous en

ὑὸν αὐτοῦ τῶν χρημάτων ἀποστερούμενον ἐσώσατε, τοὺς ἔχοντας ἀποδοῦναι τὰ ὄντ' αὐτῷ καταναγκάσαντες. **39** Καὶ μὴν καὶ αὐτὸς Ἀπολλόδωρος οὐχ ὥσπερ Προνάπης ἀπεγράψατο μὲν τίμημα μικρόν, ὡς ἱππάδα δὲ τελῶν ἄρχειν ἠξίου τὰς ἀρχάς, οὐδὲ βίᾳ μὲν ἐζήτει τὰ ἀλλότρι' ἔχειν, ὑμᾶς δ' ᾤετο δεῖν μηδὲν ὠφελεῖν, ἀλλὰ φανερὰ τὰ ὄντα καταστήσας ὑμῖν, ὅσα προστάττοιτε, πάνθ' ὑπηρέτει φιλοτίμως, οὐδέν τ' ἀδικῶν ἐκ τῶν ἑαυτοῦ † φιλοτίμως † ἐπειρᾶτο ζῆν, εἰς αὐτὸν μὲν τὰ μέτρια ἀναλίσκειν οἰόμενος δεῖν, τὰ δ' ἄλλα τῇ πόλει περιποιεῖν, ἵνα ἐξαρκοίη πρὸς τὰς δαπάνας. **40** Κἀκ τούτων τίνα λῃτουργίαν οὐκ ἐξελῃτούργησεν; ἢ τίνα εἰσφορὰν οὐκ ἐν πρώτοις εἰσήνεγκεν; ἢ τί παραλέλοιπεν ὧν προσῆκεν; Ὅς γε καὶ παιδικῷ χορῷ χορηγῶν ἐνίκησεν, ὧν μνημεῖα τῆς ἐκείνου φιλοτιμίας ὁ τρίπους ἐκεῖνος ἕστηκε. Καίτοι τί χρὴ τὸν μέτριον πολίτην; Οὐχ οὗ μὲν ἕτεροι τὰ μὴ προσήκοντ' ἐβιάζοντο λαμβάνειν, τούτων μηδὲν ποιεῖν, τὰ δ' ἑαυτοῦ πειρᾶσθαι σῴζειν; οὗ δ' ἡ πόλις δεῖται χρημάτων, ἐν πρώτοις εἰσφέρειν καὶ μηδὲν ἀποκρύπτεσθαι τῶν ὄντων; **41** Ἐκεῖνος τοίνυν τοιοῦτος ἦν· ἀνθ' ὧν δικαίως ἂν αὐτῷ ταύτην τὴν χάριν ἀποδοίητε, τὴν ἐκείνου γνώμην περὶ τῶν αὐτοῦ κυρίαν εἶναι ποιήσαντες. Καὶ μὴν καὶ ἐμέ γε, ὅσα κατὰ τὴν ἐμὴν ἡλικίαν, εὑρήσετε οὐ κακὸν οὐδὲ ἄχρηστον· ⟨ὅς γε⟩ ἐστράτευμαι τὰς στρατείας τῇ πόλει, τὰ προσταττόμενα ποιῶ· τοῦτο γὰρ τῶν τηλικούτων ἔργον ἐστί. **42** Καὶ ἐκείνων οὖν ἕνεκα καὶ ἡμῶν εἰκότως ἂν ποιήσαισθε πρόνοιαν, ἄλλως τε καὶ τούτων ⟨μὲν⟩ τριηραρχοῦντα οἶκον πέντε ταλάντων ἀνῃρηκότων καὶ πεπρακότων καὶ ἔρημον πεποιηκότων, ἡμῶν δὲ καὶ λεῃτουργηκότων ἤδη καὶ λῃτουργησόντων, ἐὰν

10 αὐτῷ καταναγκάσαντες A^2: αὐτῶν ἀνταναγκ- || **39** 4 ᾤετο A^2: ὥστε || 7 φιλοτίμως e v. 6 repetitum : κοσμίως dubitanter. Thal. || **41** 5 ὅς γε add. Herwerden || τὰς στρατείας Scaliger : ταῖς στρατείαις || **42** 2 ποιήσαισθε Bek. : -σησθε || 3 μὲν add. Ald.

supporterons encore, si, confirmant la volonté d'Apollodoros, vous nous attribuez sa succession.

43 Mais je ne veux pas m'étendre oiseusement sur ces considérations ; en quelques mots, je vous remémorerai les faits et je quitterai la barre. Que demandent les deux parties ? Moi, je vous ai montré que ma mère était sœur d'Apollodoros, qu'il y avait entre eux grande amitié, nul sujet de haine; je suis son neveu, et j'ai été adopté par lui de son vivant, alors qu'il possédait toute sa raison ; j'ai été inscrit dans le *génos* et la phratrie : je demande donc qu'on me mette en possession de ce qui m'a été donné et qu'on ne permette pas à mes adversaires de livrer à l'abandon la maison du défunt. Et Pronapès, que réclame-t-il au nom de la demanderesse ? **44** Il veut garder la moitié de la succession du frère de sa femme, cinq demi-talents, recueillir cette succession nouvelle, alors que d'autres ont le pas sur sa femme en droit de successibilité. Il n'a donné à son beau-frère aucun enfant en adoption, mais il a laissé sa maison déserte ; de même il n'en donnerait aucun à Apollodoros et laisserait semblablement sa maison vide, d'autant qu'il y a eu entre eux de si grandes inimitiés, et qu'aucune réconciliation n'est jamais intervenue. **45** Voilà ce qu'il faut envisager, juges. Considérez aussi que je suis neveu du défunt, que cette femme est sa cousine, qu'elle veut avoir deux successions, tandis que moi, j'en réclame une seule, celle qu'on m'a destinée en m'adoptant, qu'elle n'a aucun sentiment d'affection à l'égard de l'homme qui a laissé cet héritage, tandis que moi et mon grand-père nous avons été ses bienfaiteurs. Examinez tous ces points, pesez-les en votre esprit, puis prononcez une sentence conforme à la justice.

Je ne vois pas sur quel point insister davantage, car je crois que tout est clair pour vous dans ce que j'ai dit.

ὑμεῖς ἐπικυρώσητε τὴν Ἀπολλοδώρου γνώμην ἀποδόντες ἡμῖν τοῦτον τὸν κλῆρον.

43 Ἵνα δὲ μὴ δοκῶ διατρίβειν περὶ ταῦτα ποιούμενος τοὺς λόγους, βούλομαι διὰ βραχέων ὑμᾶς ὑπομνήσας οὕτω καταβαίνειν τί ἑκάτερος ἡμῶν ἀξιοῖ δηλώσας. Ἐγὼ μὲν ἀδελφῆς οὔσης τῆς ἐμῆς || μητρὸς Ἀπολλοδώρῳ, φιλίας αὐτοῖς πολλῆς ὑπαρχούσης, ἔχθρας δ' οὐδεμιᾶς πώποτε γενομένης, ἀδελφιδοῦς ὢν καὶ ποιηθεὶς ὑὸς ὑπ' ἐκείνου ζῶντος καὶ εὖ φρονοῦντος, καὶ εἰς τοὺς γεννήτας καὶ φράτερας ἐγγραφείς, ἔχειν τὰ δοθέντα, καὶ μὴ ἐπὶ τούτοις ⟨εἶναι⟩ ἐξερημῶσαι τὸν οἶκον τὸν ἐκείνου. Προνάπης δὲ τί ὑπὲρ τῆς ἀμφισβητούσης ;

44 Ἔχειν μὲν τοῦ τῆς γυναικὸς ἀδελφοῦ τιμὴν τοῦ ἡμικληρίου πένθ' ἡμιτάλαντα, λαβεῖν δὲ καὶ τόνδε τὸν κλῆρον ἑτέρων ταῖς ἀγχιστείαις προτέρων αὐτοῦ τῆς γυναικὸς ὄντων, οὔτ' ἐκείνῳ παῖδα εἰσπεποιηκώς, ἀλλὰ τὸν οἶκον ἐξηρημωκώς, οὔτε τούτῳ ἂν εἰσποιήσας, ἀλλ' ὁμοίως ἂν καὶ τοῦτον ἐξερημώσας, καὶ ἔχθρας μὲν τηλικαύτης ὑπαρχούσης αὐτοῖς, διαλλαγῆς δὲ οὐδεμιᾶς πώποθ' ὕστερον γενομένης. 45 Ταῦτα χρὴ σκοπεῖν, ὦ ἄνδρες, κἀκεῖνο ἐνθυμεῖσθαι, ὅτι ἐγὼ μὲν ἀδελφιδοῦς αὐτῷ, ἡ δὲ ἀνεψιὰ τοῦ τελευτήσαντος, καὶ ὅτι ἡ μὲν δύ' ἔχειν ἀξιοῖ κλήρους, ἐγὼ δὲ τοῦτον μόνον εἰς ὃν περ εἰσεποιήθην, καὶ ὅτι αὕτη μὲν οὐκ εὔνους τῷ καταλιπόντι τὸν κλῆρον, ἐγὼ δὲ καὶ ὁ ἐμὸς πάππος εὐεργέται γεγόναμεν αὐτοῦ. Ταῦτα πάντα σκεψάμενοι καὶ διαλογιζόμενοι πρὸς ὑμᾶς αὐτούς, τίθεσθε τὴν ψῆφον ᾗ δίκαιόν ἐστιν.

Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων.

43 9 εἶναι add. Reiske || 44 5 ἐξηρημωκώς A² : ἐξερημ- || οὔτε Bek.: οὐδὲ || εἰσποιήσας A² : ἐκπ-.

VIII

NOTICE

Le huitième discours d'Isée est la contre-partie du troisième. Dans celui-là, l'orateur s'efforce de détruire les preuves alléguées pour établir que Philé est fille légitime de Pyrrhos ; ici, celui qui revendique la succession de Kiron tâche de démontrer que sa mère est fille légitime du défunt. Et voici sa version des faits.

STEMMA



Kiron s'est marié deux fois ; de sa première femme qui éta itsa cousine germaine par sa mère, il avait eu une fille unique ; la seconde, sœur de Dioklès de Phlya, lui donna deux fils, qui semblent être morts jeunes. Il maria sa fille avec Nausiménès de Cholargos ; après le décès de Nausiménès, il lui trouva un second mari dont elle eut deux fils. L'aîné de

ces fils est le client d'Isée. Il réclame la succession de leur grand-père contre un neveu de Kiron, fils d'un frère, qui conteste la légitimité de leur mère. Ce compétiteur n'est d'ailleurs qu'un homme de paille ; le véritable instigateur du procès est Dioklès ; de complicité avec sa sœur, il avait déjà mis la main sur la fortune, et il est dépeint sous les couleurs les plus noires.

Le discours est fort bien composé : l'orateur s'attache d'abord à la question de légitimité ; puis il établit qu'il doit avoir la préférence sur le neveu.

ἐξεδίδου δυναμένην ἔτι τεκεῖν παῖδας ἐξ ἑτέρου ἀνδρός, ἵνα μὴ χωρισθείσης περὶ τῶν αὐτοῦ βουλεύσαιτο καθάπερ προσῆκεν, ἔπειθε δὲ μένειν φάσκουσαν ἐξ αὐτοῦ κυεῖν οἴεσθαι, προσποιουμένην δὲ διαφθείρειν ἄκουσαν, ἵν' ἐλπίζων ἀεὶ γενήσεσθαι παῖδας αὐτῷ μηδέτερον ἡμῶν εἰσποιήσαιτο ὑόν· καὶ τὸν πατέρα διέβαλλεν ἀεί, φάσκων αὐτὸν ἐπιβουλεύειν τοῖς ἐκείνου. 37 Τά τε οὖν χρέα πάντα ὅσα ὤφείλετο αὐτῷ, καὶ ⟨τοὺς⟩ τόκους ἔπειθε ⟨πράξασθαι⟩, τά τε φανερὰ δι' αὐτοῦ ποιεῖσθαι, παράγων ἄνδρα πρεσβύτερον θεραπείαις καὶ κολακείαις, ἕως ἅπαντα τὰ ἐκείνου περιέλαβεν. Εἰδὼς δὲ ὅτι πάντων ἐγὼ τούτων κατὰ τὸ προσῆκον εἶναι κύριος ζητήσω, ὁπόταν ὁ πάππος τελευτήσῃ, εἰσιέναι μέν με καὶ θεραπεύειν ἐκεῖνον καὶ συνδιατρίβειν οὐκ ἐκώλυε, δεδιὼς μὴ τραχυνθεὶς εἰς ὀργὴν κατασταίη πρὸς αὐτόν, παρεσκεύαζε δέ μοι τὸν ἀμφισβητήσοντα τῆς οὐσίας, μέρος πολλοστὸν τούτῳ μεταδιδοὺς εἰ κατορθώσειεν, αὐτῷ δὲ ταῦτα πάντα περιποιῶν καὶ οὐδὲ πρὸς τοῦτον ὁμολογῶν τὸν πάππον χρήματα καταλείπειν, ἀλλ' εἶναι φάσκων οὐδέν. 38 Καὶ ἐπειδὴ τάχιστα ἐτελεύτησεν, ἐντάφια προπαρασκευασάμενος τὸ μὲν ἀργύριον ἐμὲ ἐκέλευεν ἐνεγκεῖν, ὡς τῶν μαρτύρων ἠκούσατε μαρτυρησάντων, ἀπειληφέναι δὲ παρὰ τοῦδε προσεποιεῖτο, παρ' ἐμοῦ δὲ οὐκέτι ἤθελεν ἀπολαβεῖν, ὑποπαρωθῶν ὅπως ἐκεῖνος δοκοίη θάπτειν, ἀλλὰ μὴ ἐγὼ τὸν πάππον. Ἀμφισβητοῦντος δὲ τούτου καὶ τῆς οἰκίας ταύτης καὶ τῶν ἄλλων ὧν ἐκεῖνος κατέλιπε, καὶ οὐδὲν φάσκοντος καταλελοιπέναι, βιάσασθαι μὲν καὶ τὸν πάππον μεταφέρειν ἐν ταῖς τοιαύταις ἀκαιρίαις οὐκ ᾤμην δεῖν, τῶν φίλων μοι ταῦτα συγγιγνωσκόντων, συν-

36 8 μηδέτερον A^2 : ∗∗δέτερον A || 37 2 τοὺς add. Herwerden || 3 πράξασθαι add. Buerm. || τά τε A : τά γε A^1 vel A^2 || 6 ὁπόταν dubitanter Wyse : ὁπότε || 7 τελευτήσῃ dubitanter Wyse : ἐτελεύτησεν || 9 κατασταίη Reiske : -σταίην || 13 καταλείπειν dubitanter Wyse : -λιπεῖν.

fis pour ma part le nécessaire et je participai aux obsèques, les dépenses étant prises sur la succession. 39 En tout cela, j'ai été bien forcé d'agir de la sorte ; mais, pour empêcher ces gens d'en tirer parti contre moi en prétendant devant vous que je n'avais rien dépensé pour les obsèques, j'ai consulté l'interprète du droit sacré[1] et, sur son avis, je fis les frais des offrandes du neuvième jour et je n'y épargnai rien, pour détruire l'effet de leur procédé sacrilège et pour ne pas donner à croire qu'ils avaient fait toutes les dépenses et moi aucune, mais pour montrer que j'avais eu un rôle égal.

40 Voilà, à peu près, ce qui s'est passé et voilà pourquoi nous avons ce procès, juges. Mais si vous connaissiez l'effronterie de Dioklès, si vous saviez l'homme qu'il est en toute circonstance, mes paroles ne rencontreraient nulle incrédulité. La fortune qu'il possède et qui lui permet son luxe actuel, n'est pas à lui : il l'a enlevée à ses trois sœurs de mère, restées héritières, en se donnant comme fils adoptif de leur père[2], alors que le père n'avait pris aucune disposition de ce genre. 41 Deux des sœurs avaient des maris qui cherchèrent à recouvrer la fortune ; il séquestra le mari de l'aînée et, à la suite d'un guet-apens, lui fit perdre ses droits civils[3] ; poursuivi pour violence et outrage, il n'a pas encore été jugé. Quant au mari de la seconde, il le fit tuer par un esclave, envoya le meurtrier à l'étranger et fit retomber l'accusation sur la sœur ; 42 il la terrifia par des procédés scélérats ; tuteur du fils, il le dépouilla de son avoir ; il a gardé son domaine et lui a donné un champ de cailloux. Tout cela est vrai. Ses victimes ont peur de lui ; peut-être consentiront-elles pourtant à m'apporter leur témoignage. Sinon, je ferai comparaître des témoins bien au courant. Appelle-moi ceux-ci en premier lieu.

1. Il y avait différentes classes d'interprètes du droit sacré (ἐξηγηταί) qu'on consultait dans les cas de conscience.

2. Le fait est difficilement explicable : du moment qu'il y avait des filles, le testament aurait dû prévoir le mariage de l'une d'elles avec l'héritier institué ; mais la loi athénienne interdisait le mariage du frère et de la sœur utérins.

3. Toute l'affaire est obscure.

ἐποίουν δὲ καὶ συνέθαπτον, ἐξ ὧν ὁ πάππος κατέλιπε τῶν ἀναλωμάτων γιγνομένων. 39 Καὶ ταῦτα μὲν οὕτως ἀναγκασθεὶς ἔπραξα τοῦτον τὸν τρόπον· ὅπως δὲ μηδέν μου ταύτῃ πλεονεκτοῖεν, παρ' ὑμῖν φάσκοντες οὐδέν με εἰς τὴν ταφὴν ἀνηλωκέναι, τὸν ἐξηγητὴν ἐρόμενος ἐκείνου κελεύσαντος ἀνήλωσα παρ' ἐμαυτοῦ ⟨καὶ⟩ τὰ ἔνατα ἐπήνεγκα, ὡς οἷόν τε κάλλιστα παρασκευάσας, ἵνα αὐτῶν ἐκκόψαιμι ταύτην τὴν ἱεροσυλίαν, καὶ ἵνα μὴ δοκοῖεν οὗτοι μὲν ἀνηλωκέναι πάντα, ἐγὼ δὲ μηδέν, ἀλλ' ὁμοίως κἀγώ.

40 Καὶ τὰ μὲν γεγενημένα καὶ δι' ἃ τὰ πράγματα ταῦτα ἔχομεν, σχεδόν τι ταῦτ' ἐστίν, ὦ ἄνδρες· εἰ δὲ εἰδείητε τὴν Διοκλέους ἀναισχυντίαν, καὶ περὶ τὰ ἄλλα οἷός ἐστιν, οὐκ ἂν ἀπιστήσαιτε τῶν εἰρημένων οὐδενί. Οὗτος μὲν γὰρ ἔχει τὴν οὐσίαν, ἀφ' ἧς νῦν ἐστι λαμπρός, ἀλλοτρίαν, ἀδελφῶν τριῶν ὁμομητρίων ἐπικλήρων καταλειφθεισῶν αὐτὸν τῷ πατρὶ αὐτῶν εἰσποιήσας, οὐδεμίαν ἐκείνου περὶ τούτων ποιησαμένου διαθήκην. 41 Τοῖν δ' ἀδελφαῖν τοῖν δυοῖν ἐπειδὴ τὰ χρήματα εἰσεπράττετο ὑπὸ τῶν ἐκείναις συνοικούντων, τὸν μὲν τὴν πρεσβυτέραν ἔχοντα κατοικοδομήσας καὶ ἐπιβουλεύσας ἠτίμωσε, καὶ γραφὴν ὕβρεως γραφεὶς οὐδέπω τούτων δίκην δέδωκε, τῆς δὲ μετ' ἐκείνην γενομένης τὸν ἄνδρα ἀποκτεῖναι κελεύσας οἰκέτην ἐκεῖνον μὲν ἐξέπεμψε, τὴν δ' αἰτίαν εἰς τὴν ἀδελφὴν ἔτρεψε, 42 καταπλήξας δὲ ταῖς αὐτοῦ βδελυρίαις προσαφῄρηται τὸν ὑὸν αὐτοῦ τὴν οὐσίαν ἐπιτροπεύσας καὶ κατέχει τὸν ἀγρόν, φελλέα δὲ [χωρία ἄττα] ἐκείνῳ δέδωκε. Καὶ ταῦτα ὅτι ἀληθῆ λέγω, δεδίασι μὲν αὐτόν, ἴσως δ' ἄν μοι καὶ μαρτυρῆσαι ἐθελήσειαν· εἰ δὲ μή, τοὺς εἰδότας παρέξομαι μάρτυρας. Καί μοι κάλει δεῦρο αὐτοὺς πρῶτον.

38 12 συνέθαπτον A^2 : συνθάπτων || 39 5 καὶ add. A^2 || 8 μηδέν- Herwerden : οὐδέν || 40 2 τι A : τοι A^1 || 4 ἀπιστήσαιτε Reiske : ἀπιστήσαί τις || 5 ἔχει Baiter : εἶχε || 6 τριῶν A^2 : τινῶν || 41 1 et 2 τοῖν Naber : ταῖν || 5 δέδωκε Sauppe : ἔδωκε || 42 4 χωρία ἄττα secl. Reiske.

Témoins

43 Après avoir montré cette insolence et cette brutalité et dépouillé ses sœurs, il ne se contente pas de détenir leurs biens, mais, parce qu'il n'a pas été puni de ses crimes, le voici qui veut maintenant nous enlever la succession de notre grand-père. Il a donné à notre adversaire en tout deux mines, à ce qu'on nous a dit ; il nous met en danger de perdre non seulement une fortune, mais encore notre patrie. Car si ses mensonges vous amènent à croire que notre mère n'était pas citoyenne, nous non plus ne sommes pas citoyens : nous sommes nés en effet après l'archontat d'Eukleidès [1]. Est-ce donc sur une bagatelle que porte le procès machiné contre nous par lui ? 44 Du vivant de notre grand-père et de notre père, nous n'avons encouru aucune accusation ; nous avons toujours vécu à l'abri des chicanes ; après leur mort, même si nous triomphons, nous aurons la honte d'avoir vu nos droits contestés et nous le devrons à cet Oreste, cette misérable canaille, qui, pris en flagrant délit d'adultère a subi le traitement d'usage en pareil cas [2] et, même ainsi, n'abandonne pas la partie, à ce qu'attestent les gens bien informés. Vous connaissez maintenant le caractère de cet individu, et vous en apprendrez plus long dans la suite, quand viendra notre procès contre lui. 45 Mais, je vous le demande et vous en supplie, ne permettez point que cette fortune qu'a laissée mon grand-père soit pour moi l'occasion d'un outrage, et qu'on m'en dépouille ; venez à mon aide avec tout le pouvoir dont chacun de vous dispose. Vous avez des preuves suffisantes, tirées des témoignages, de la torture, des lois elles-mêmes : nous sommes bien nés de la fille légitime de Kiron et c'est à nous, de préférence à nos adversaires, que reviennent les biens du défunt, puisque nous sommes ses descendants, et lui, notre

1. Les enfants, nés postérieurement à cette date (403/2) d'une mère non-citoyenne, n'avaient pas la qualité de citoyens.

2. Aristophane (*Nuées*, v. 1083) et les scholiastes nous renseignent là-dessus.

Μάρτυρες

43 Οὕτω τοίνυν ἀσελγὴς ὢν καὶ βίαιος καὶ τὴν τῶν ἀδελφῶν οὐσίαν ἀπεστερηκὼς οὐκ ἀγαπᾷ τὰ ἐκείνων ἔχων, ἀλλ᾽ ὅτι δίκην οὐδεμίαν αὐτῶν δέδωκεν, ἥκει καὶ τὰ τοῦ πάππου χρήματα ἡμᾶς ἀποστερήσων, καὶ τούτῳ δύο μνᾶς, ὡς ἀκούομεν, || μόνας δεδωκὼς οὐ μόνον περὶ χρημάτων ἡμᾶς, ἀλλὰ καὶ περὶ τῆς πατρίδος εἰς κινδύνους καθίστησιν. Ἐὰν γὰρ ἐξαπατηθῆτε ὑμεῖς πεισθέντες ὡς ἡ μήτηρ ἡμῶν οὐκ ἦν πολῖτις, οὐδ᾽ ἡμεῖς ἐσμεν· μετ᾽ Εὐκλείδην γὰρ ἄρχοντα γεγόναμεν. Ἆρα περὶ μικρῶν τινων ἡμῖν τὸν ἀγῶνα κατεσκεύακε; 44 Καὶ ζῶντος μὲν τοῦ πάππου καὶ τοῦ πατρὸς οὐδεμίαν αἰτίαν εἴχομεν, ἀλλ᾽ ἀναμφισβήτητοι τὸν ἅπαντα χρόνον διετελέσαμεν· ἐπειδὴ δὲ ἐκεῖνοι τετελευτήκασι, κἂν νῦν νικήσωμεν, ὄνειδος ἕξομεν, διότι ἠμφεσβητήθημεν, διὰ τὸν Ὀρέστην τοῦτον τὸν κακῶς ἀπολούμενον, ὃς μοιχὸς ληφθεὶς καὶ παθὼν ὅ τι προσήκει τοὺς τὰ τοιαῦτα ποιοῦντας οὐδ᾽ ὡς ἀπαλλάττεται τοῦ πράγματος, ὡς οἱ συνειδότες καταμαρτυροῦσι. Τοῦτον μὲν οὖν, οἷός ἐστι, καὶ νῦν ἀκούετε καὶ αὖθις ἀκριβέστερον πεύσεσθε, ὅταν κατ᾽ αὐτοῦ τὴν δίκην ἡμεῖς εἰσίωμεν· 45 ὑμῶν δ᾽ ἐγὼ δέομαι καὶ ἱκετεύω, μή με περιίδητε περὶ τούτων ὑβρισθέντα τῶν χρημάτων ὧν ὁ πάππος κατέλιπε, μηδ᾽ ἀποστερηθέντα, ἀλλὰ βοηθήσατε καθ᾽ ὅσον ὑμῶν ἕκαστος τυγχάνει δυνάμενος. Ἔχετε δὲ πίστεις ἱκανὰς ἐκ μαρτυριῶν, ἐκ βασάνων, ἐξ αὐτῶν τῶν νόμων, ὅτι τ᾽ ἐσμὲν ἐκ θυγατρὸς γνησίας Κίρωνος, καὶ ὅτι προσήκει ἡμῖν μᾶλλον ἢ τούτοις κληρονομεῖν τῶν ἐκείνου χρημάτων, ἐγγόνοις οὖσι τοῦ πάππου.

44 4 νικήσωμεν A^2 : -σομεν || 10 πεύσεσθε A^2 : -σθα || 45 6 ἐκ add. Dob.

grand-père. **46** Rappelez-vous le serment que vous avez prêté avant de juger, les arguments que nous avons présentés, les lois, et prononcez dans le sens de la justice.

Je ne vois rien à ajouter, car je crois que tout est clair pour vous dans ce que j'ai dit. Prends le dernier témoignage attestant le flagrant délit d'adultère et donnes-en lecture.

⟨Témoignage⟩

---

46 Μνησθέντες οὖν καὶ τῶν ὅρκων οὓς ὀμόσαντες δικάζετε, καὶ τῶν λόγων οὓς εἰρήκαμεν, καὶ τῶν νόμων, ᾗ δίκαιόν ἐστι, ταύτῃ τὴν ψῆφον τίθεσθε.

Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων. Λαβὲ δ' αὐτοῖς τὴν μαρτυρίαν τὴν λοιπήν, ὡς ἐλήφθη μοιχός, καὶ ἀνάγνωθι.

⟨Μαρτυρία⟩

46 7 μαρτυρία add. Reiske.

IX

NOTICE

Astyphilos, fils d'Euthykratès, du dème d'Araphène, avait fait du métier militaire l'occupation de sa vie. Après avoir pris part à diverses guerres au début du IVe siècle, il rencontra sa fin dans la campagne de Mytilène, sans doute vers 366. Son cousin germain, Kléon, se met alors en possession de son héritage au nom de son propre fils qu'il prétend avoir été adopté par Astyphilos. Mais un demi-frère d'Astyphilos par sa mère, au retour de campagne, revendique la succession. Il soutient que le testament où Astyphilos aurait adopté le fils de Kléon est un faux et veut démontrer que l'héritage lui revient aussi bien au point de vue légal qu'à celui de l'équité.

STEMMA



Pour établir le caractère frauduleux du testament, l'orateur recourt à l'argumentation bien connue par les probabilités. Insuffisance des témoins appelés à la confection du tes-

tament ; invraisemblance de l'hypothèse qu'Astyphilos ait fait un testament précisément avant de partir pour sa dernière campagne, alors qu'il n'en avait jamais fait précédemment ; étrangeté de sa conduite s'il avait adopté le fils d'un homme avec qui il n'entretenait par principe aucune relation ; voilà ce que fait valoir le demi-frère d'Astyphilos contre l'acte produit par la partie adverse. Mais cet acte avait été déposé chez Hiéroklès, le propre oncle du demandeur, le frère de sa mère : Hiéroklès est précisément dénoncé comme l'intrigant qui avait machiné toute l'affaire, après s'être assuré la complicité de Kléon.

Les droits positifs du frère utérin à la succession d'Astyphilos se fondent d'abord sur sa qualité de parent le plus rapproché. Sans doute Kléon, cousin germain d'Astyphilos par son père Thoudippos, devrait avoir la préférence d'après la loi athénienne ; nous savons en effet que tous les parents du défunt du côté paternel, jusqu'aux enfants du cousin germain, étaient appelés à la succession avant que l'on passât à la ligne maternelle. Mais Thoudippos est entré dans une autre famille par adoption ; il n'est plus de la phratrie du défunt, et les membres de la phratrie tiennent son fils pour un étranger. Toutefois, bien que le demandeur établisse ainsi légalement sa revendication, il ne s'en tient pas là. Si l'on jugeait qu'il n'était pas qualifié pour hériter par son degré de parenté, l'affection témoignée par Astyphilos à son beau-père Théophrastos, qui l'avait élevé, conférait du moins au fils de ce dernier un droit moral à la succession. C'est pourquoi on nous fait un récit touchant de la petite enfance d'Astyphilos et de tous les bons offices qu'il a reçus de l'intègre Théophrastos.

Il est impossible de déterminer si les juges ont cédé à ces raisons et annulé le testament. Un document épigraphique nous fait bien connaître un Myronidès, fils de Kléon, d'Araphène, prytane vers le milieu du IVe siècle (*Inscr. graecae*, II, n° 870, *B*, l. 13). Si c'était le fils que Kléon prétendait avoir été adopté par Astyphilos, nous aurions la preuve que l'adoption n'a pas été validée. Mais Kléon avait assurément plusieurs fils, sinon son adversaire aurait argué d'une autre

invraisemblance : enlève-t-on un fils unique à son père pour l'adopter? Kléon lui-même et d'autres membres de la famille figurent à divers titres dans des inscriptions. Ces mentions ne permettent pas de dater le discours ; l'indice le meilleur est fourni par le discours lui-même. Astyphilos, après avoir fait, entre autres guerres, la guerre thébaine (378-371), meurt dans une expédition à Mytilène : on peut conjecturer que le général athénien Timothéos avait là sa base d'opérations en 366, lorsqu'il appuyait le satrape de Phrygie Ariobarzanès, révolté contre Artaxerxès II.

IX

LA SUCCESSION D'ASTYPHILOS

Sujet du discours

Astyphilos et celui qui prononce le discours sont frères de mère ; à la mort d'Astyphilos, un certain Kléon, son cousin germain, a mis en avant un testament qu'il prétend avoir été fait en faveur de son fils. Le frère d'Astyphilos attaque le testament comme forgé. Le débat porte sur une question de fait.

1 J'avais comme frère de mère, juges, cet Astyphilos dont la succession est en question. Il partit avec le corps expéditionnaire de Mytilène[1] et mourut là-bas. Je vais essayer de vous démontrer ce que j'ai préalablement déclaré sous serment, c'est-à-dire que le défunt n'a pas adopté de fils, n'a pas légué ses biens, n'a pas laissé de testament, et que la fortune d'Astyphilos ne doit revenir à personne qu'à moi. 2 Kléon, mon adversaire, est cousin germain d'Astyphilos du côté paternel ; son fils, qu'il donne comme fils adoptif d'Astyphilos, était petit cousin ; mais le père de Kléon est passé par adoption dans une autre maison, et mes adversaires ne l'ont pas quittée, en sorte que nulle parenté, aux termes de la loi, ne subsiste entre eux et Astyphilos. Mais comme, de ce côté, toute revendication était exclue, ils ont eu recours à un testament, un faux, comme je pense le démontrer, qu'ils ont fabriqué, et ils cherchent à m'enlever l'héritage de mon frère.

1. Voir la notice, p. 161, et le § 14.

IX

ΠΕΡΙ ΤΟΥ ΑΣΤΥΦΙΛΟΥ ΚΛΗΡΟΥ

Ὑπόθεσις

Ἀστύφιλος καὶ ὁ λέγων τὸν λόγον ἀδελφοὶ ὁμομήτριοι· τελευτήσαντος δὲ τοῦ Ἀστυφίλου διαθήκας προήνεγκε Κλέων τις, ἀνεψιὸς ὢν αὐτοῦ, φάσκων αὐτὰς γενέσθαι εἰς τὸν υἱὸν ἑαυτοῦ. Ὁ δὲ ἀδελφὸς τοῦ Ἀστυφίλου κατηγορεῖ τῶν διαθηκῶν ὡς πλαστῶν. Ἡ στάσις στοχασμός. 5

1 Ἀδελφός μοι ἦν ὁμομήτριος, ὦ ἄνδρες, Ἀστύφιλος, οὗ ἐστιν ὁ κλῆρος· ἀποδημήσας οὖν μετὰ τῶν εἰς Μυτιλήνην στρατιωτῶν ἐτελεύτησε. Πειράσομαι δ' ὑμῖν ἐπιδεῖξαι ὅπερ ἀντώμοσα, ὡς οὔτε ἐποιήσατο ἐκεῖνος ὑὸν ἑαυτῷ, οὔτ' ἔδωκε τὰ ἑαυτοῦ, οὔτε διαθήκας κατέλιπεν, οὔτε προσήκει ἔχειν τὰ Ἀστυφίλου οὐδενὶ ἄλλῳ ἢ ἐμοί. 2 Ἔστι γὰρ [ὁ] Κλέων οὗτοσὶ ἀνεψιὸς Ἀστυφίλῳ πρὸς πατρός, ὁ δὲ ὑὸς ὁ τούτου, ὃν εἰσποιεῖ ἐκείνῳ, ἀνεψιαδοῦς. Εἰσποίητος δ' ἦν ὁ πατὴρ ὁ Κλέωνος εἰς ἄλλον οἶκον καὶ οὗτοι ἔτι εἰσὶν ἐν ἐκείνῳ τῷ οἴκῳ, ὥστε γένει μὲν διὰ τὸν νόμον οὐδὲν προσήκουσιν Ἀστυφίλῳ. Ἐπειδὴ δὲ κατὰ ταῦτα οὐκ ἦν ἀμφισβήτησις, διαθήκας, ὦ ἄνδρες, ψευδεῖς — ὡς ἐγὼ οἶμαι ἐπιδείξειν — κατεσκεύασαν ⟨καὶ⟩ ζητοῦσιν ἀποστε-

1 2 μιτυλήνην A, ut 6, 6 et 14, 2 et 10 || 2 2 ὁ secl. Sauppe || 8 καὶ add. A².

3 Et ce Cléon était et est encore aujourd'hui si fermement persuadé que personne, sinon lui, n'aura la succession que, dès la nouvelle de la mort d'Astyphilos, profitant d'une maladie de mon père et de mon absence à moi, qui étais en expédition, il s'est mis en possession du domaine et, pour les autres biens qu'avait pu laisser le défunt, il a déclaré que le tout était propriété de son fils avant toute décision de votre part[1]. 4 Mais lorsqu'on rapporta les cendres de mon frère, ce fils qui fait remonter son adoption à une date lointaine n'a procédé ni à l'exposition[2] ni à l'ensevelissement ; ce sont les amis d'Astyphilos et ses compagnons d'armes qui, voyant la maladie de mon père et mon absence, ont fait eux-mêmes l'exposition et les cérémonies ordinaires ; ils conduisirent au monument funèbre mon père, tout malade qu'il était, parce qu'ils savaient bien l'affection d'Astyphilos pour lui. Comme témoins de ces faits, je vais produire les amis du défunt, présents aux obsèques.

Témoins

5 Kléon n'a donc pas enseveli Astyphilos ; lui-même ne le nierait pas et les témoins vous l'ont attesté. Quand je revins d'expédition et que je constatai que ces gens exploitaient le bien du défunt, [j'allai trouver Kléon qui me déclara que][3] son fils avait été adopté par Astyphilos et qu'un testament à cet effet avait été déposé chez Hiéroklès d'Iphistiadai. Après avoir entendu cette déclaration, je me rendis chez Hiéroklès ; tout en sachant bien qu'il était fort lié avec Kléon, 6 je ne croyais pas qu'il oserait mentir contre la volonté du défunt Astyphilos, alors surtout qu'il était son oncle en même temps que le mien. Pourtant, juges, Hiéroklès n'y eut aucun

1. Procédé illégal, le fils adopté par testament n'ayant pas la saisine.
2. L'urne funéraire était « exposée », comme l'aurait été le corps.
3. Lacune dans le texte.

ρῆσαί με τῶν τἀδελφοῦ. 3 Καὶ οὕτω σφόδρα Κλέων οὐτοσὶ καὶ πρότερον καὶ νῦν οὐδένα ἄλλον τὸν κλῆρον ἡγεῖται ἕξειν ἢ αὐτόν ὥστ' ἐπειδὴ τάχιστα ἠγγέλθη Ἀστύφιλος τετελευτηκώς, τοῦ μὲν πατρὸς τοῦ ἐμοῦ ἀσθενοῦντος, ἐμοῦ δὲ οὐκ ἐπιδημοῦντος, ἀλλὰ στρατευομένου, εἰς τὸ χωρίον ἐνεβάτευσε, καὶ εἴ τι ἄλλο ἐκεῖνος κατέλιπεν, ἅπαντα ἔφη τοῦ υἱοῦ τοῦ ἑαυτοῦ εἶναι, πρίν τι ὑμᾶς ψηφίσασθαι. 4 Ἐπεὶ δ' ἐκομίσθη τὰ ὀστᾶ τοῦ ἀδελφοῦ, ὁ μὲν προσποιούμενος πάλαι υἱὸς εἰσπεποιῆσθαι οὐ προὔθετο οὐδ' ἔθαψεν, || οἱ δὲ φίλοι Ἀστυφίλου καὶ οἱ συστρατιῶται, ὁρῶντες τὸν πατέρα τὸν ἐμὸν ἀρρωστοῦντα, ἐμὲ δὲ οὐκ ἐπιδημοῦντα, αὐτοὶ καὶ προὔθεντο καὶ τἆλλα πάντα τὰ νομιζόμενα ἐποίησαν καὶ τὸν ἐμὸν πατέρα ἀσθενοῦντα ἐπὶ τὸ μνῆμα ἤγαγον, εὖ εἰδότες ὅτι ἀσπάζοιτο αὐτὸν Ἀστύφιλος. Τούτου δ' ὑμῖν αὐτοὺς τοὺς ἐπιτηδείους τοὺς ἐκείνου μάρτυρας παρέξομαι τῶν παρόντων.

Μάρτυρες

5 Ὅτι μὲν οὐκ ἔθαψε Κλέων Ἀστύφιλον, οὐδ' ⟨ἂν⟩ αὐτὸς ἔξαρνος γένοιτο μεμαρτύρηταί τε ὑμῖν· ἐπειδὴ δὲ ἐπεδήμησα ἐγὼ καὶ ᾐσθόμην καρπουμένους τούτους τὰ ἐκείνου, . . . ὁ δὲ υἱὸς αὐτοῦ ποιηθείη ὑπὸ Ἀστυφίλου, καὶ τούτων διαθήκας καταλίποι παρὰ Ἱεροκλεῖ Ἰφιστιάδῃ. Ἀκούσας δ' ἐγὼ λέγοντος αὐτοῦ ταῦτα ἐπορευόμην παρὰ τὸν Ἱεροκλέα, εὖ μὲν εἰδὼς ὅτι ὡς οἷόν τε μάλιστα ἐπιτήδειος εἴη Κλέωνι, 6 οὐχ ἡγούμενος δ' ἂν αὐτὸν τολμῆσαί τι ψεύσασθαι κατὰ Ἀστυφίλου τετελευτηκότος, καὶ ταῦτα θεῖον ὄντα καὶ ἐμοῦ καὶ ἐκείνου. Ὅμως δέ, ὦ ἄν-

9 τῶν τἀδελφοῦ Reiske : τοῦ (τῶν A¹) ἀδελφοῦ || 5 τ ἂν add. Bek. || 4 post ἐκείνου et in marg. terna puncta add. A¹, lacun. indic. Dob. || 5 Ἰφιστιάδῃ Thal. Wyse : ἡφαιστίδῃ || 6 δ' erasum rest. Buerm. || 8 Κλέωνι A² : -νίου || 6 3 ὄντα A² : ἔχοντα.

égard, et quand je l'interrogeai, il me répondit qu'il avait bien le testament ; il prétendait l'avoir reçu d'Astyphilos à la veille de son départ pour Mytilène. C'est ainsi qu'il s'exprima ; lis-moi ce témoignage.

Témoignage

7 Maintenant, juges, puisqu'aucun des proches n'a assisté à la mort de mon frère et que j'étais moi-même absent quand on rapporta ses restes, il me faut tirer parti des affirmations mêmes de mes adversaires pour prouver la fausseté du testament. Il est vraisemblable qu'Astyphilos ne s'en est pas tenu à la volonté d'adopter un fils qui lui succéderait ; il a dû se préoccuper de donner à ses dispositions une pleine efficacité, d'assurer sa fortune au fils qu'il voulait adopter, de lui permettre de se rendre aux autels de la famille et de célébrer en l'honneur du défunt et de ses ancêtres les cérémonies accoutumées. 8 Il savait que tout cela se réaliserait d'autant mieux qu'il ne ferait pas son testament à l'insu de ses proches, mais qu'il convoquerait en première ligne des parents, puis des membres de la phratrie et du dème, puis des amis en aussi grand nombre que possible [1]. De cette manière, s'il se présentait quelque compétiteur à titre de parent ou de légataire, on prouverait aisément l'imposture. 9 Or il est manifeste qu'Astyphilos n'en a rien fait, qu'il ne s'est fait assister d'aucun de ceux que j'ai dits, lorsqu'il prit les dispositions qu'on lui impute, de personne hormis les gens qui à l'instigation de mes adversaires déclarent qu'ils étaient là [2]. Mais moi je veux faire comparaître devant vous comme témoins tous ceux dont j'ai parlé.

1. La présence de témoins n'était pas une condition légale de la validité d'un testament ; toutefois c'était la coutume de convoquer des parents et des amis, qui, en cas de contestation, devaient attester l'existence réelle d'un testament, mais à l'ordinaire n'en connaissaient pas la teneur (cf. discours IV, § 13).

2. Allégation vague et par suite suspecte : ni le nombre ni la qualité des témoins ne sont indiqués ; ils sont donnés en bloc comme subornés par les adversaires.

δρες, οὐδὲν τούτων ὑπολογισάμενος ὁ Ἱεροκλῆς, ἐρωτώμενος ὑπ' ἐμοῦ ἀπεκρίνατό μοι ὅτι ἔχοι τὰς διαθήκας· λαβεῖν δὲ ἔφη αὐτὰς παρὰ Ἀστυφίλου, ὅτε εἰς Μυτιλήνην ἔμελλεν ἐκεῖνος ἐκπλεῖν. Ὡς δὲ ταῦτ' ἔλεγεν, ἀνάγνωθί μοι ταύτην τὴν μαρτυρίαν [ὅτι Ἱεροκλῆς ἀπεκρίνατο].

Μαρτυρία

7 Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες, οὔτε παραγενόμενος οὐδεὶς ἔτυχε τῶν οἰκείων ὅτε ὁ ἀδελφὸς ἐτελεύτησεν, οὔτε ἐγὼ ἐπεδήμουν ὅτε τὰ ὀστᾶ αὐτοῦ δεῦρο ἐκομίσθη, ἀναγκαῖόν μοί ἐστιν ἐξ αὐτῶν ὧν οὗτοι λέγουσιν ἐλέγχειν ψευδεῖς οὔσας τὰς διαθήκας [ἃς ἐποιήσατο]. Εἰκὸς γὰρ ἐκεῖνον οὐ μόνον ἐπιθυμεῖν ὑὸν ποιησάμενον καταλιπεῖν, ἀλλὰ καὶ σκοπεῖσθαι ὅπως κυριώτατα ἔσται ἃ ἂν διαθῆται, καὶ τήν τε οὐσίαν, ὃν ἂν ἐκεῖνος εἰσποιήσηται, οὗτος ἕξει, καὶ ἐπὶ τοὺς βωμοὺς τοὺς πατρῴους οὗτος βαδιεῖται, καὶ τελευτήσαντι αὐτῷ καὶ τοῖς ἐκείνου προγόνοις τὰ νομιζόμενα ποιήσει· 8 ἅπαντα δὲ ταῦτα μάλιστ' ἂν εἰδέναι ὅτι γένοιτο, εἰ μὴ ἄνευ τῶν οἰκείων τῶν ἑαυτοῦ τὰς διαθήκας ποιοῖτο, ἀλλὰ πρῶτον μὲν συγγενεῖς παρακαλέσας, ἔπειτα δὲ φράτερας καὶ δημότας, ἔπειτα τῶν ἄλλων ἐπιτηδείων ὅσους δύναιτο πλείστους· οὕτω γὰρ εἴτε κατὰ γένος εἴτε κατὰ δόσιν ἀμφισβητοίη τις, ῥᾳδίως ἂν ἐλέγχοιτο ψευδόμενος. 9 Ὁ τοίνυν Ἀστύφιλος οὐδὲν φαίνεται τοιοῦτον ποιήσας, οὐδὲ παραστησάμενος οὐδένα τούτων ὅτε διέθετο ἃ οὗτοί φασιν, εἰ μή τις ἄρα ὑπὸ τούτων πέπεισται ὁμολογεῖν παρεῖναι. Αὐτὸς δ' ὑμῖν πάντας τούτους μαρτυροῦντας παρέξομαι.

8 ὅτι Ἱερ. ἀπεκρίνατο secl. Reiske || 7 5 ἃς ἐποιήσατο secl. Dob., verbis <ὡς οὗτοί φασιν> explic. Fuhr || 8 1 μάλιστ' ἂν Bek. : μάλιστα || εἰδέναι A² : οἶδα || 2 γένοιτο Dob. : γένοιντο || ἑαυτοῦ A² : ἐμαυ- || 5 γένος εἴτε Ald. : γένος ἔτε.

Témoins

10 Peut-être Kléon prétendra-t-il qu'il ne convient pas d'attacher une valeur probante à ces témoignages où l'on atteste seulement qu'on n'a pas connaissance d'un testament fait par Astyphilos. Mais à mon avis, du moment que la discussion porte sur un testament et sur l'adoption d'un fils par Astyphilos; il nous faut attribuer beaucoup plus de poids au témoignage de parents du défunt, affirmant qu'ils n'ont pas assisté à un acte d'une telle importance, qu'à celui de gens étrangers à la parenté, attestant qu'ils y ont assisté. 11 Et Kléon lui aussi, juges, s'il ne voulait pas jouer le rôle d'un sot, aurait dû, au moment où Astyphilos adoptait son fils et déposait son testament, convoquer tous les parents dont la présence sur les lieux lui était connue et d'autres personnes encore, pour peu qu'il les sût en relation avec Astyphilos[1]. Personne en effet ne pouvait empêcher Astyphilos de donner ses biens à qui lui plaisait; mais, pour mon adversaire, il était capital d'établir par témoins que l'acte n'avait pas eu un caractère secret. 12 Admettons encore, juges, qu'Astyphilos ait voulu tenir cachée l'adoption du fils de Kléon et l'existence de son testament; alors, selon toute vraisemblance, personne absolument ne devrait figurer dans l'acte comme témoin[2]; mais s'il est manifeste qu'il y avait des témoins présents à la rédaction du testament, et que ces témoins ne soient pas des intimes du défunt, mais des gens pris au hasard, y a-t-il quelque vraisemblance que le testament soit authentique? 13 Je ne puis croire en effet qu'aucun homme, en adoptant un fils, se soit aventuré à ne convoquer pas, à l'exclusion de tous autres, ceux à qui il va laisser, pour le remplacer désormais et à jamais, un associé dans la vie religieuse et la vie civile[3]. Il n'y a d'ailleurs pas de honte à

1. Kléon avait-il la possibilité de prendre cette initiative?

2. Les noms des témoins instrumentaires devaient être mentionnés dans l'acte pour lequel ils avaient été convoqués.

3. L'adoption confère la participation aux « choses sacrées et profanes ».

Μάρτυρες

10 Ἴσως τοίνυν Κλέων οὗτοσὶ φήσει οὐκ εἰκὸς εἶναι τεκμηρίοις ὑμᾶς χρήσασθαι τούτοις τοῖς μάρτυσιν, ὅτι μαρτυροῦσι μὴ εἰδέναι Ἀστύφιλον ταῦτα διατιθέμενον. Ἐγὼ δ' οἶμαι, περί γε διαθηκῶν οὔσης τῆς ἀμφισβητήσεως καὶ περὶ τοῦ ποιηθῆναί τινα ὑὸν Ἀστυφίλῳ, ἡμῖν πολὺ βεβαιοτέραν εἶναι μαρτυρίαν ἣν οἱ ἀναγκαῖοι ⟨οἱ⟩ ἐκείνου περὶ τῶν μεγίστων μή φασι παραγενέσθαι, μᾶλλον ἢ ἣν οἱ μηδὲν προσήκοντες μαρτυροῦσι παρεῖναι. 11 Καὶ ἐχρῆν δ', ὦ ἄνδρες, καὶ αὐτὸν Κλέωνα, μὴ δοκοῦντα εἶναι ἠλίθιον, ὅτε τὸν ὑὸν τὸν τούτου ἐποιεῖτο Ἀστύφιλος καὶ τὰς διαθήκας κατέλειπε, παρακαλέσαι εἴ τέ τινα συγγενῆ ἐπιδημοῦντα ἐγίγνωσκεν, καὶ τοὺς ἄλλους, ὅτῳ περ ἔμβραχυ ᾔδει Ἀστύφιλον χρώμενον. Κωλῦσαι μὲν γὰρ οὐδεὶς ἂν αὐτὸν ἐδύνατο, ὅτῳ ἐβούλετο, δοῦναι τὰ ἑαυτοῦ· τούτῳ δ' ἂν μεγάλη μαρτυρία ἦν, ὅτι οὐ λάθρᾳ ταῦτα διέθετο. 12 Ἔτι δ', ὦ ἄνδρες, εἰ μὲν ὁ Ἀστύφιλος μηδένα ἐβούλετο εἰδέναι ὅτι τὸν Κλέωνος ὑὸν ἐποιεῖτο μηδ' ὅτι διαθήκας καταλίποι, εἰκὸς ἦν μηδὲ ἄλλον μηδένα ἐγγεγράφθαι ἐν τῷ γραμματείῳ μάρτυρα· εἰ δ' ἐναντίον μαρτύρων φαίνεται διαθέμενος, τούτων δὲ μὴ τῶν μάλιστα χρωμένων, ἀλλὰ τῶν ἐντυχόντων, πῶς εἰκός ἐστιν ἀληθεῖς εἶναι τὰς διαθήκας; 13 Οὐ γὰρ ⟨ἂν⟩ ἡγοῦμαι ἔγωγε οὐδένα, ὑὸν ἑαυτῷ ποιούμενον, τολμῆσαι ἄλλους τινὰς παρακαλέσαι ἢ || τούτους, οἷς περ καὶ ἱερῶν καὶ ὁσίων κοινωνὸν ἀνθ' αὑτοῦ εἰς τὸν ἔπειτα χρόνον ἔμελλε καταλείπειν. Ἀλλὰ μὴν οὐδ' αἰσχυν-

10 1 φήσει Naber : φησιν || 3 διατιθέμενον A : supra ον et in marg. terna puncta add. A[1] || 6 ante ἣν erasum εἰς || οἱ add. Sauppe || **11** 4 κατέλ∗ιπε A || τέ Dob. : γέ || 5 περ ἔμβραχυ Cobet : ἐπιβραχύ περ || **13** 1 ἂν add. Scheibe || 3 οἷς Dob. : οὓς || κοινωνὸν Dob. : -νοὺς || 4 καταλείπειν Herwerden : -λιπεῖν.

convoquer le plus grand nombre possible de témoins à l'occasion d'un semblable testament puisqu'il y a une loi autorisant à disposer de ses biens à sa volonté.

14 Considérez maintenant, juges, ce qui ressort de la date assignée par mes adversaires au testament. C'est au moment de son départ pour l'expédition de Mytilène que, d'après eux, Astyphilos aurait pris ses dispositions. Il est clair, d'après leur déclaration, qu'il aurait su par avance tout l'avenir. En effet il a pris part à une première expédition à Corinthe, à une autre en Thessalie, à toute la guerre thébaine[1] ; chaque fois qu'il apprenait qu'on rassemblait des troupes quelque part, il s'y rendait pour prendre un commandement. Or jamais, en partant pour aucune de ces expéditions, il n'a laissé de testament. La campagne de Mytilène fut pour lui la dernière, celle où il mourut. **15** A qui de vous donnera-t-on à croire que le hasard ait si bien arrangé les choses? Précédemment Astyphilos a fait d'autres campagnes et savait bien que, dans toutes, il courrait des dangers ; mais jamais, à aucune époque antérieure, il n'a pris la moindre disposition concernant ses biens. Au contraire, lorsqu'il allait partir pour la dernière fois, qu'il s'embarquait comme volontaire, et plus que jamais espérait revenir sain et sauf[2], alors — la coïncidence vous paraît-elle maintenant croyable? — il laisse un testament, part en campagne et meurt.

16 Quittons ce point, juges : je vous fournirai des indices encore plus sûrs de l'imposture de mes adversaires. Je vous prouverai en effet qu'Astyphilos n'avait pas de plus grand ennemi que Kléon et qu'il le haïssait si fortement et à si juste titre qu'il aurait bien plus volontiers pris des dispositions pour interdire à tous ses proches d'avoir des rapports avec Kléon plutôt que d'adopter son fils. **17** C'est qu'Euthykratès, le père d'Astyphilos, est mort, dit-on, du fait de

1. La guerre de Corinthe dure de 394 à 386, la guerre thébaine de 378 à 371 ; entre ces deux périodes nous n'avons aucune connaissance d'une expédition en Thessalie.

2. L'expédition semblait-elle peu dangereuse ?

θῆναι οὐδενὶ προσήκει ἐπὶ τοιαύταις διαθήκαις ὡς πλείστους μάρτυρας παρίστασθαι, νόμου γε ὄντος ἐξεῖναι ὅτῳ βούλοιτο δοῦναι τὰ ἑαυτοῦ.

14 Σκέψασθε δέ, ὦ ἄνδρες, καὶ ἐκ τοῦ χρόνου ὃν οὗτοι λέγουσι περὶ τῶν διαθηκῶν. Ὅτε γὰρ εἰς Μυτιλήνην ἐξέπλει στρατευόμενος, τότε φασὶν αὐτὸν ταῦτα διαθέσθαι· φαίνεται δὲ ὁ Ἀστύφιλος τῷ τούτων λόγῳ τὰ μέλλοντα ἅπαντα ἔσεσθαι προειδώς. Πρῶτον μὲν γὰρ ἐστρατεύσατο εἰς Κόρινθον, ἔπειτα εἰς Θετταλίαν, ἔτι δὲ τὸν Θηβαϊκὸν πόλεμον ἅπαντα, καὶ ἄλλοσε ὅπου περ αἰσθάνοιτο στράτευμα συλλεγόμενον, ἁπανταχοῖ ἀπεδήμει λοχαγῶν· καὶ οὐδ' ἐν μιᾷ τούτων τῶν ἐξόδων διαθήκας κατέλιπεν. Ἡ δὲ εἰς τὴν Μυτιλήνην στρατεία τελευταία αὐτῷ ἐγένετο, ἐν ᾗ καὶ ἀπέθανε. **15** Τῷ οὖν ἂν ὑμῶν φανείη πιστόν, πρότερον ἄλλας στρατείας τοῦ Ἀστυφίλου στρατευομένου καὶ εὖ εἰδότος ὅτι ἐν ἁπάσαις μέλλοι κινδυνεύειν, οὕτως ἀκριβῶς τὰ παρὰ τῆς τύχης συμβῆναι ὥστε ἐν μὲν τῷ πρόσθεν χρόνῳ μηδὲ περὶ ἑνὸς αὐτὸν τῶν αὐτοῦ διαθέσθαι, ὅτε δὲ τὸ τελευταῖον ἔμελλε στρατεύεσθαι, ἐθελοντήν τε ἐκπλέοντα καὶ μάλιστα ἐκ ταύτης τῆς στρατείας ἐλπίζοντα σωθήσεσθαι — πῶς τοῦτο πιστὸν ἤδη; — τὰς διαθήκας τότε καταλιπεῖν καὶ ἐκπλεύσαντα τελευτῆσαι;

16 Χωρὶς δὲ τούτων, ὦ ἄνδρες δικασταί, ἔτι μείζω τεκμήρια παρέξομαι ὡς οὐδὲν ἀληθὲς λέγουσιν οὗτοι. Ἐπιδείξω γὰρ ὑμῖν ἔχθιστον ἁπάντων ὄντα Ἀστύφιλον Κλέωνι, καὶ οὕτω σφόδρα καὶ δικαίως μισοῦντα τοῦτον ὥστε πολὺ ἂν θᾶττον διαθέμενον μηδένα ποτὲ τῶν ἑαυτοῦ οἰκείων διαλεχθῆναι Κλέωνι μᾶλλον ἢ τὸν τούτου υἱὸν ποιησάμενον. **17** Εὐθυκράτει γάρ, ὦ ἄνδρες, τῷ πατρὶ τῷ Ἀστυφίλου αἴτιος γενέσθαι λέγεται τοῦ θανάτου Θούδιππος ὁ

14 8 ἁπανταχοῖ Reiske: ἁπανταχῇ * || **15** 1-2 πρότερον A^2: πότερον || 6 ἐκπλέοντα Dob.: ἐκπλεῖν τῷ || 8 ἤδη Ald.: ἤδει || post ἤδη interr. sign. posuit Buerm. || **16** 5 ἂν Dob.: δὴ || 6 ποιησάμενον Reiske: -σόμενον || **17** 1 Ἀστυφίλου A^2: -λω || 2 Θούδιππος A^2: θ' οὐδιππῖς A^1.

Thoudippos, le pére de Kléon ici présent ; il a été maltraité par lui dans une querelle survenue au cours du partage de leur domaine et mis en si mauvais point qu'il tomba malade des coups qu'il avait reçus et mourut peu de jours après. **18** C'est la vérité ; et sans doute bien des Araphéniens[1], qui travaillaient à ce moment avec eux dans les champs, pourraient l'attester ; mais pour apporter un témoignage catégorique dans une affaire si grave, je ne trouverais personne à faire comparaître devant vous. Hiéroklès, par exemple, a bien vu les coups qui étaient portés, mais c'est lui qui prétend avoir reçu la garde du testament et je sais qu'il ne consentira pas à faire une déposition qui irait à l'encontre du testament que lui-même produit. Appelle pourtant Hiéroklès afin qu'il témoigne devant les juges ou atteste sous serment son ignorance du fait[2].

Serment d'ignorance

19 Je le savais bien : il est dans le caractère du même homme de jurer qu'il ignore ce qu'en réalité il sait et, lorsqu'il s'agit de faits controuvés, de consentir à prêter un serment solennel qu'ils se sont passés, et qu'il le sait. Mais, quand mourut Euthykratès, le père d'Astyphilos, il enjoignit aux siens d'interdire à jamais l'approche de son tombeau à tous les descendants de Thoudippos ; comme témoin de cette défense, je vous produirai le mari de la tante d'Astyphilos.

Témoignage

20 Astyphilos l'apprit de la bouche du témoin et des autres parents, quand il était encore enfant et, dès qu'il eut

1. Habitants d'un dème de la côte orientale de l'Attique.

2. Hiéroklès avait évidemment refusé de témoigner au cours de l'instruction ; mais il était tenu de se présenter devant le tribunal et de comparaître à la barre sur la citation du demandeur. Il devait alors, ou bien attester la vérité d'un fait dont il lui était donné connaissance par un exposé écrit, ou bien jurer solennellement, la main sur la victime du sacrifice, qu'il ignorait le fait.

Κλέωνος τουτουὶ πατήρ, αἰκισάμενος ἐκεῖνον διαφορᾶς τινος αὐτοῖς γενομένης ἐν τῇ νεμήσει τοῦ χωρίου, καὶ οὕτως αὐτὸν διατεθῆναι ὥστε ἐκ τῶν πληγῶν αὐτὸν ἀσθενήσαντα οὐ πολλαῖς ἡμέραις ὕστερον ἀποθανεῖν. 18 Ὡς δὲ ταῦτ' ἐστὶν ἀληθῆ, ἴσως μὲν καὶ Ἀραφηνίων [καὶ] πολλοὶ τῶν τότε συγγεωργούντων μαρτυρήσειαν ἄν μοι, διαρρήδην δὲ ⟨τὸν μαρτυρήσοντα⟩ περὶ τηλικούτου πράγματος οὐκ ἂν ἔχοιμι ὅπως ὑμῖν παρασχοίμην. Καὶ γὰρ αὐτὸν τυπτόμενον ἰδὼν Ἱεροκλῆς, ὁ τὸ γραμματεῖον φάσκων παρ' ἑαυτῷ τεθῆναι, οἶδ' ὅτι οὐκ ἂν ἐθελήσειε μαρτυρῆσαι ἐναντία ταῖς διαθήκαις αἷς αὐτὸς ἀποφαίνει. Ὅμως μέντοι καὶ κάλει Ἱεροκλέα, ἵνα ἐναντίον τούτων μαρτυρήσῃ ἢ ἐξομόσηται.

Ἐξωμοσία

19 Ἀκριβῶς μὲν ᾔδειν· τοῦ γὰρ αὐτοῦ ἀνδρός ἐστιν, ἃ μὲν οἶδεν ἐξόμνυσθαι, τῶν δὲ μὴ γενομένων πίστιν ἐθέλειν ἐπιθεῖναι ἢ μὴν εἰδέναι γενόμενα· ὡς δέ, ὅτε ἀπέθνησκεν [ὁ] Εὐθυκράτης ὁ πατὴρ Ἀστυφίλου, ἐπέσκηψε τοῖς οἰκείοις μηδένα ποτὲ ἐᾶσαι ἐλθεῖν τῶν Θουδίππου ἐπὶ τὸ μνῆμα τὸ ἑαυτοῦ, τούτων ὑμῖν τὸν ἔχοντα τὴν τηθίδα τὴν Ἀστυφίλου μάρτυρα παρέξομαι.

Μαρτυρία

20 Ἀκούων τοίνυν ταῦτα ὁ Ἀστύφιλος καὶ τούτου καὶ τῶν ἄλλων προσηκόντων εὐθέως ἐκ παιδίου, ἐπειδὴ τάχιστα

3 τουτουὶ Scheibe : τούτου || 18 2 Ἀραφηνίων Palmer : ῥάφηνίων || καὶ secl. Bek. || 3 μαρτυρήσειαν Scheibe : -σαιεν || 4 τὸν μαρτυρήσοντα add. Reiske || 7 ἐθελήσειε Dob. : -ση || 9 ἐναντίον Bek. : -τία || 10 ἐξομο-***σηται A, corr. A^2 || 11 ἐξωμοσία Baiter-Sauppe : μαρτυρία || 19 4 ὁ secl. Scheibe || 5 ἐᾶσαι Baiter : ἐάσειν || 7 τὴν Buerm. : τοῦ || μάρτυρα Steph : -ρίαν || 20 2 ἐκ παιδίου Dob. : ἐκ παίδων.

l'âge de raison, il n'adressa jamais la parole à Kléon ; jusqu'à sa mort, il est resté persuadé qu'il manquerait à la piété, du moment que Thoudippos portait une telle responsabilité vis-à-vis de son père, s'il échangeait un mot avec le fils[1]. Qu'il soit resté, sa vie durant, brouillé avec Kléon, c'est ce que vous attesteront des témoins bien au courant que je vais faire comparaître.

Témoins

21 Quant aux sacrifices où les Athéniens se traitent les uns les autres[2], du moment qu'Astyphilos était du même dème que Kléon, qu'il était son cousin, et surtout qu'il avait dessein d'adopter son fils, il aurait été naturel, lorsqu'il était à Athènes, qu'il s'y rendît avec Kléon plutôt qu'avec tout autre. Or il n'y est jamais allé avec lui ; on va vous lire sur ce point un témoignage des gens du dème.

Témoignage

22 Voilà donc les termes où était Kléon avec le défunt et il demande que son fils en recueille la succession ? Mais est-ce lui qu'il faut nommer ? C'est bien plutôt Hiéroklès, l'oncle du défunt et le mien ; voilà celui qui a l'audace de venir apporter un testament qui est faux et de prétendre qu'Astyphilos l'a déposé chez lui. 23 Et pourtant, Hiéroklès, tu as reçu bien des services de Théophrastos mon père, quand tu étais moins bien en point qu'aujourd'hui, et aussi d'Astyphilos, mais ni à l'un ni à l'autre tu ne témoignes la reconnaissance qui leur est due. Moi, le fils de Théophrastos et ton neveu, tu me dépouilles de ce que me reconnaissent les lois ; vis-à-vis du défunt Astyphilos, tu te rends coupable de mensonge et, dans la mesure de tes forces, tu mets ses pires ennemis en possession de son héritage. 24

1. La responsabilité du meurtre passe à la descendance.

2. Les fêtes locales, célébrées dans le dème, étaient l'occasion de banquets où se réunissaient les voisins.

ἤρχετο φρονεῖν, οὐδεπώποτε διελέχθη Κλέωνι, ἀλλὰ πρότερον ἐτελεύτησεν, οὐχ ἡγούμενος ὅσιον εἶναι, τοιαύτην αἰτίαν ἔχοντος Θουδίππου περὶ τὸν αὑτοῦ πατέρα, τῷ ἐκείνου υἱεῖ διαλέγεσθαι. Ὡς οὖν τὸν ἅπαντα χρόνον διάφορος ἦν Κλέωνι, τούτων ὑμῖν τοὺς συνειδότας μάρτυρας παρέξομαι.

Μάρτυρες

21 Εἰς τὰς θυσίας τοίνυν, ἐν αἷσπερ οἱ ἄλλοι Ἀθηναῖοι ἑστιῶνται, πρῶτον μὲν δημότην ὄντα, ἔπειτα ἀνεψιόν, ἔτι δὲ τὸν υἱὸν τὸν τούτου μέλλοντα ποιεῖσθαι, εἰκὸς δήπου ἦν, ὁπότε περ ἐπιδημοίη, μηδὲ μεθ᾽ ἑνὸς ἄλλου ἰέναι τὸν Ἀστύφιλον ἢ μετὰ Κλέωνος. Ὡς τοίνυν οὐδέποτ᾽ ἦλθε μετ᾽ αὐτοῦ, ὑμῖν τῶν δημοτῶν μαρτυρίαν || ἀναγνώσεται.

Μαρτυρία

22 Οὕτως τοίνυν διακείμενος τῷ τετελευτηκότι Κλέων ἀξιοῖ τὸν υἱὸν τὸν ἑαυτοῦ τὰ ἐκείνου ἔχειν. Καὶ τί δεῖ τοῦτον λέγειν; Ἀλλ᾽ Ἱεροκλῆς, θεῖος ὢν ⟨καὶ ἐκείνῳ⟩ καὶ ἐμοί, οὕτως ἐστὶ τολμηρὸς ὥστε οὐ γενομένας διαθήκας ἥκει φέρων, καί φησι παρ᾽ ἑαυτῷ Ἀστύφιλον ταύτας καταλιπεῖν. 23 Καίτοι, Ἱερόκλεις, πολλὰ κἀγαθὰ παθὼν ὑπὸ Θεοφράστου τοῦ πατρὸς τοῦ ἐμοῦ, ὅτε χεῖρον ἔπραττες ἢ νυνί, καὶ ὑπὸ Ἀστυφίλου, οὐδετέρῳ αὐτοῖν τὴν ἀξίαν χάριν ἀποδίδως· ἐμὲ μὲν γὰρ υἱὸν ὄντα Θεοφράστου, σαυτοῦ δὲ ἀδελφιδοῦν, ἀποστερεῖς ἅ μοι οἱ νόμοι ἔδοσαν, Ἀστυφίλου δὲ τεθνεῶτος καταψεύδῃ καὶ τὸ κατὰ σαυτὸν

3 διελέχθη Reiske : διηλ- A διειλ- A^2 || **21** 1 θυσίας A^2 : οὐσίας || 4 ἐπιδημοίη Reiske : ἀποδ- || ἰέναι Reiske : εἶναι || **22** 3 καὶ ἐκείνῳ add. Dob. || **23** 4 ἀποδίδως A^2 : ἀπεδ- || 4-5 σαυτοῦ A^2 : *αυτοῦ.

Avant toute revendication de la succession, juges, Hiéroklès, qui savait bien que la fortune d'Astyphilos ne devait revenir à nul autre qu'à moi, alla trouver à tour de rôle les parents du défunt; il mettait l'affaire à prix et poussait des gens qui n'avaient aucun droit, à réclamer; il disait qu'il était l'oncle d'Astyphilos et qu'il dévoilerait que le défunt avait laissé un testament, si on voulait s'associer avec lui. Après qu'il a fait marché avec Kléon et qu'il a partagé avec lui les biens de mon frère, il demandera maintenant la confiance, tout comme s'il disait la vérité. Il serait même tout disposé, je crois, à prêter serment, si on lui déférait le serment[1]. 25 En ce qui me concerne, il a beau être mon parent, il ne veut même pas déposer sur des faits réels; mais lorsqu'il s'agit de cet autre individu, qui ne lui est de rien, il l'assiste de ses mensonges et il vient apporter une pièce qui doit prouver des faits inexistants; c'est qu'il juge que les affaires rapportent plus que la parenté. Il est certain qu'il a déclaré à la ronde son intention de produire un testament si on s'associait avec lui; ceux-là auxquels il s'est adressé vont en témoigner devant vous.

Témoins

26 Quel nom faut-il donner, juges, à cet homme qui consent si aisément pour son profit personnel à faire mentir un mort? Ce n'est pas gratuitement qu'il produit le testament en faveur de Kléon, mais il a reçu son salaire: le témoignage que vous avez entendu vous en fournira une très forte présomption. Voilà pourtant les manœuvres qu'ils ont concertées contre moi; chacun d'eux en effet considère comme une aubaine ce qu'il pourra tirer de la succession d'Astyphilos.

27 Le testament est donc faux, et Kléon ainsi que Hiéroklès veulent vous tromper; c'est ce que j'ai établi dans la

1. On peut sommer un témoin de confirmer la véracité de sa déposition par un serment solennel, ou refuser cette épreuve.

μέρος τοὺς ἐχθίστους καθίστης τῶν ἐκείνου κληρονόμους.
24 Καὶ πρὶν μὲν ληχθῆναι τοῦ κλήρου, ὦ ἄνδρες, εὖ εἰδὼς ὁ Ἱεροκλῆς ὅτι οὐδενὶ ἄλλῳ γίγνοιτο τὰ Ἀστυφίλου ἢ ἐμοί, ἐν μέρει ἑκάστῳ τῶν ἐκείνου ἐπιτηδείων προσῄει πωλῶν τὸ πρᾶγμα καὶ τοὺς οὐδὲν προσήκοντας πείθων ἀμφισβητεῖν, λέγων ὅτι θεῖος εἴη Ἀστυφίλῳ καὶ ἀποφανοίη διαθήκας ἐκεῖνον καταλελοιπότα, εἴ τις αὐτῷ κοινώσαιτο· ἐπειδὴ δὲ πρὸς Κλέωνα διωμολογήσατο καὶ τῶν τοῦ ἀδελφοῦ ἐμερίσατο, νυνὶ ὡς ἀληθῆ λέγων ἀξιώσει πιστεύεσθαι. Δοκεῖ δέ μοι κἂν ὀμόσαι ἄσμενος, εἴ τις αὐτῷ ὅρκον διδοίη. 25 Καὶ ἐμοὶ μὲν συγγενὴς ὢν οὐδὲ τὰ γενόμενα ἐθέλει μαρτυρεῖν, ᾧ δ' οὐδὲν προσήκει, τούτῳ τὰ ψευδῆ συλλαμβάνει καὶ τῶν οὐ πραχθέντων γραμματεῖον ἥκει φέρων· πολὺ γὰρ προυργιαίτερον ἡγεῖται εἶναι τὸ χρηματίζεσθαι ἢ τὴν ἐμὴν συγγένειαν. Ὡς δὲ ἐπηγγέλλετο περιιὼν διαθήκας ἀποφανεῖν, εἴ τις αὐτῷ κοινώσαιτο, αὐτοὺς ὑμῖν οἷς προσῆλθε μάρτυρας παρέξομαι.

Μάρτυρες

26 Τί οὖν χρή, ὦ ἄνδρες, ὄνομα θέσθαι τούτῳ τῷ ἀνδρί, ὅστις ἐθέλει οὕτω ῥᾳδίως διὰ τὸ ἑαυτοῦ κέρδος τῶν τεθνεώτων τινὸς καταψεύδεσθαι ; Ὡς δὲ οὐδὲ Κλέωνι προῖκα τὰς διαθήκας ἀποφαίνει, ἀλλὰ μισθὸν εἴληφεν, αὕτη ὑμῖν ἡ μαρτυρία οὐ μικρὸν τεκμήριον ἔσται. Τοιαῦτα μέντοι κοινῇ ἐπ' ἐμοὶ τεχνάζουσιν· ἡγεῖται γὰρ αὐτῶν ἑκάτερος εὕρημα ἔχειν ὅ τι ἂν τῶν Ἀστυφίλου λάβῃ.

27 Ὡς μὲν οὖν οὐκ εἰσὶν ἀληθεῖς αἱ διαθῆκαι, ἀλλὰ Κλέων καὶ Ἱεροκλῆς βούλονται ὑμᾶς ἐξαπατῆσαι, καθ'

24 2 post ἄλλῳ litt. quattuor erasae || 5 ἀποφανοίη Scheibe : -φαίνει A -φαίνοι A² || 25 4 προυργιαίτερον A² : πουργ- || 5 ἀποφανεῖν Dob. : -φαίνειν || 6-7 αὐτοὺς ὑμ. οἷς πρ. μάρτυρας Scheibe : αὐτοῦ ὑμ. ὡς πρ. μαρτυρίας || 7 παρέξομαι Dob. : -έχομαι || 8 μάρτυρες Scheibe : -ρίαι || 26 1 τούτῳ A² : τουτο.

mesure de mes forces. Mais alors même que je n'aurais aucun lien de parenté avec Astyphilos, je serais mieux justifié que mes adversaires à recueillir la succession : voilà ce que je vais vous montrer. Quand mon père Théophrastos reçut ma mère en mariage des mains d'Hiéroklès, elle, qui était déjà la mère d'Astyphilos, amena avec elle ce petit enfant, et Astyphilos continua à vivre chez nous et fut élevé par mon père[1].
28 Quand je fus né et que j'eus l'âge d'être instruit, nous reçumes une instruction commune. Prends-moi ce témoignage, puis celui des maîtres où nous fréquentâmes.

Témoignages

Le domaine paternel d'Astyphilos fut planté et cultivé par mon père qui en doubla la valeur. Avancez, vous, pour témoigner de ce fait.

Témoins

29 A sa majorité, mon frère fut mis en possession de tous ses biens de la manière la plus correcte et la plus régulière, en sorte que jamais il n'eut à formuler une plainte contre mon père. Dans la suite, mon père établit comme il le jugea bon la sœur consanguine d'Astyphilos[2] ; il régla toutes les autres questions, toujours avec sa complète approbation. Car Astyphilos considérait qu'il avait suffisamment éprouvé les bonnes intentions de mon père à son égard pour avoir été élevé chez lui dès son enfance. Ceux qui sont au courant vont déposer sur le fait du mariage.

1. Le beau-père paraît être devenu tuteur d'Astyphilos, ce qui ne laisse pas de surprendre. Il est possible que, par un testament, Euthykratès ait ôté la tutelle à son frère Thoudippos pour la confier à Théophrastos ; ou bien Thoudippos était déjà passé dans une autre famille par adoption.

2. Le tuteur légal était le frère une fois majeur ; mais il s'en remet à Théophrastos. Il n'est plus question dans la suite de cette sœur consanguine d'Astyphilos.

ὅσον ἐδυνάμην ἀπέδειξα· ὡς δ᾽ εἰ καὶ μηδὲν προσήκων ἔτυχον Ἀστυφίλῳ, δικαιότερός εἰμι ἔχειν τὰ ἐκείνου ἢ οὗτοι, διδάξω ὑμᾶς. Ὅτε γὰρ ἐλάμβανε Θεόφραστος ὁ ἐμὸς πατὴρ τὴν ἐμὴν μητέρα καὶ Ἀστυφίλου παρὰ Ἱεροκλέους, ἦλθε καὶ αὐτὸν ἐκεῖνον ἔχουσα μικρὸν ὄντα, καὶ διητᾶτο παρ᾽ ἡμῖν τὸν ἅπαντα χρόνον ὁ Ἀστύφιλος καὶ ἐπαιδεύθη ὑπὸ τοῦ πατρὸς τοῦ ἐμοῦ. 28 Καὶ ἐπειδὴ ἐγὼ ἐγενόμην καὶ ὥραν εἶχον παιδεύεσθαι, μετ᾽ ἐκείνου συνεπαιδευόμην. Λαβὲ δέ μοι ταύτην τὴν μαρτυρίαν, εἶτα τῶν διδασκάλων ὅποι ἐφοιτῶμεν.

Μαρτυρίαι

Τὸ τοίνυν χωρίον τὸ ἐκείνου πατρῷον, ὦ ἄνδρες, ὁ πατὴρ ὁ ἐμὸς ἐφύτευσε καὶ ἐγεώργει καὶ ἐποίει διπλασίου ἄξιον. Ἀνάβητέ μοι καὶ τούτων μάρτυρες.

Μάρτυρες

29 Ἐπεὶ τοίνυν ἐδοκιμάσθη ὁ ἀδελφός, ἀπέλαβε πάντα ὀρθῶς καὶ δικαίως, ὥστε ἐκεῖνον μηδεπώποτε μηδὲν ἐγκαλέσαι τῷ ἐμῷ πατρί. Μετὰ δὲ ταῦτα τὴν ἀδελφὴν τὴν ἐκείνου ὁμοπατρίαν ἠγγύησεν ὁ ἐμὸς πατὴρ ὅτῳ ἐδόκει αὐτῷ, καὶ τἆλλα διῴκει. καὶ ταῦτα τῷ Ἀστυφίλῳ ἐξήρκει· ἱκανὴν γὰρ ἡγήσατο βάσανον εἰληφέναι ἀπὸ τοῦ πατρὸς τοῦ ἐμοῦ τῆς εἰς αὐτὸν εὐνοίας, ἐκ μικροῦ παιδίου τεθραμμένος παρ᾽ αὐτῷ. Μαρτυρήσουσι δὲ ὑμῖν καὶ περὶ τῆς ἐγγύης οἱ εἰδότες.

27 3 προσήκων A^2: -ῆκον || 28 5 μαρτυρίαι Reiske: -ρία || 29 8 μαρτυρήσουσι Scheibe: -ροῦσι || ὑμῖν Sauppe: ἡμῖν.

TÉMOINS

30 Quant aux cérémonies religieuses, mon père y conduisait avec lui Astyphilos, lorsqu'il était enfant, ainsi que moi-même, et en toute occasion. Il le présenta dans la confrérie d'Héraklès[1] afin qu'il participât à la vie de la communauté ; les membres de la confrérie eux-mêmes vous l'attesteront.

TÉMOINS

Et moi, juges, considérez les termes où j'étais avec mon frère. Tout d'abord j'ai été élevé avec lui dès l'enfance ; ensuite je n'ai jamais eu de différend avec lui, mais il m'aimait beaucoup, comme le savent tous nos parents et amis. Je veux les faire comparaître devant vous pour témoigner.

TÉMOINS

31 Vous paraît-il vraisemblable, juges, qu'Astyphilos, qui détestait tellement Kléon et qui avait tant à se louer de mon père, ait pris le soin d'adopter le fils d'un de ses ennemis ou de lui léguer ses biens, au détriment de ses bienfaiteurs et parents ? Pour moi, je ne puis le croire, dût Hiéroklès produire successivement dix testaments apocryphes : mais je crois qu'en ma qualité de frère et en raison de toute mon intimité avec le défunt, je dois avoir la préférence sur le fils de Kléon. 32 En vérité il n'était même pas décent pour mes adversaires de prétendre aux biens d'Astyphilos, alors qu'ils avaient eu avec lui les relations que j'ai dites, qu'ils n'ont pas enseveli ses restes et qu'ils sont tombés sur sa succession avant de lui avoir rendu les derniers devoirs. Et

1. Théophrastos faisait partie d'une association privée où l'on honorait Héraklès, divinité dont le culte était fort répandu en Attique. Ce dieu, grand buveur et grand mangeur, était le patron désigné de sociétés dont l'existence se manifestait sans doute surtout par des banquets.

Μάρτυρες

30 Εἰς τοίνυν τὰ ἱερὰ ὁ πατὴρ ὁ ἐμὸς τὸν Ἀστύφιλον ⟨ὄντα⟩ παῖδα ἦγε μεθ' ἑαυτοῦ ὥσπερ καὶ ἐμὲ πανταχῇ· καὶ εἰς τοὺς θιασώτας τοὺς Ἡρακλέους ἐκεῖνον [αὐτὸν] εἰσήγαγεν ἵνα μετέχοι τῆς κοινωνίας. Αὐτοὶ δ' ὑμῖν οἱ θιασῶται μαρτυρήσουσιν.

Μάρτυρες

Ἐγὼ δέ, || ὦ ἄνδρες, ὡς διεκείμην πρὸς τὸν ἀδελφόν σκέψασθε. Πρῶτον μὲν γὰρ συνετράφην ἐκείνῳ ἐκ παιδίου, ἔπειτα οὐδέποτε διάφορος ἐγενόμην, ἀλλ' ἠσπάζετό με, ὡς ἴσασιν οἱ οἰκεῖοι πάντες οἱ ἡμέτεροι καὶ οἱ φίλοι· οὓς βούλομαι ὑμῖν μάρτυρας ἀναβιβάσαι.

Μάρτυρες

